BnF Gallica

Poétique / Aristote ; [expliquée littéralement et annotée par F. de Parnajon] ; [et traduite en français par É. Egger]

Source gallica.bnf.fr / Bibliothèque nationale de France

{BnF Gallica

Aristote (0384-0322 av. J.-C.). Auteur du texte. Poétique / Aristote ; [expliquée littéralement et annotée par F. de Parnajon] ; [et traduite en français par É. Egger]. 1875.

1/ Les contenus accessibles sur le site Gallica sont pour la plupart des reproductions numériques d'oeuvres tombées dans le domaine public provenant des collections de la BnF. Leur réutilisation s'inscrit dans le cadre de la loi n°78-753 du 17 juillet 1978 :
- La réutilisation non commerciale de ces contenus ou dans le cadre d'une publication académique ou scientifique est libre et gratuite dans le respect de la législation en vigueur et notamment du maintien de la mention de source des contenus telle que précisée ci-après : « Source gallica.bnf.fr / Bibliothèque nationale de France » ou « Source gallica.bnf.fr / BnF ».
- La réutilisation commerciale de ces contenus est payante et fait l'objet d'une licence. Est entendue par réutilisation commerciale la revente de contenus sous forme de produits élaborés ou de fourniture de service ou toute autre réutilisation des contenus générant directement des revenus : publication vendue (à l'exception des ouvrages académiques ou scientifiques), une exposition, une production audiovisuelle, un service ou un produit payant, un support à vocation promotionnelle etc.

CLIQUER ICI POUR ACCÉDER AUX TARIFS ET À LA LICENCE

2/ Les contenus de Gallica sont la propriété de la BnF au sens de l'article L.2112-1 du code général de la propriété des personnes publiques.

3/ Quelques contenus sont soumis à un régime de réutilisation particulier. Il s'agit :

- des reproductions de documents protégés par un droit d'auteur appartenant à un tiers. Ces documents ne peuvent être réutilisés, sauf dans le cadre de la copie privée, sans l'autorisation préalable du titulaire des droits.
- des reproductions de documents conservés dans les bibliothèques ou autres institutions partenaires. Ceux-ci sont signalés par la mention Source gallica.BnF.fr / Bibliothèque municipale de ... (ou autre partenaire). L'utilisateur est invité à s'informer auprès de ces bibliothèques de leurs conditions de réutilisation.

4/ Gallica constitue une base de données, dont la BnF est le producteur, protégée au sens des articles L341-1 et suivants du code de la propriété intellectuelle.

5/ Les présentes conditions d'utilisation des contenus de Gallica sont régies par la loi française. En cas de réutilisation prévue dans un autre pays, il appartient à chaque utilisateur de vérifier la conformité de son projet avec le droit de ce pays.

6/ L'utilisateur s'engage à respecter les présentes conditions d'utilisation ainsi que la législation en vigueur, notamment en matière de propriété intellectuelle. En cas de non respect de ces dispositions, il est notamment passible d'une amende prévue par la loi du 17 juillet 1978.

7/ Pour obtenir un document de Gallica en haute définition, contacter
utilisation.commerciale@bnf.fr.

Z
20
58)

LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

avec des sommaires et des notes

PAR UNE SOCIETE DE PROFESSEURS

ET D'HELLÉNISTES

ARISTOTE

POÉTIQUE

EXPLIQUÉE LITTÉRALEMENT ET ANNOTÉE
PAR F. DE PARNAJON

ET TRADUITE EN FRANÇAIS
PAR E. EGGER

PARIS
LIBRAIRIE HACHETTE ET Cie
79, BOULEVARD SAINT-GERMAIN 79

1875

LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

Z
,20 (58)

Cet ouvrage a été expliqué littéralement et annoté par M. F. de Parnajon, professeur au lycée Henri IV.

La récension du texte grec et la traduction française sont celles de M. Egger, membre de l'Institut.

©

Typographie Lahure, rue de Fleurus, 9, à Paris.

LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

BIBLIOTHÈQUE IMPÉRIALE

avec des sommaires et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS

ET D'HELLÉNISTES

ARISTOTE

POÉTIQUE

DÉPOT LÉGAL
Seine
1875
3421.

PARIS

LIBRAIRIE HACHETTE ET Cie

79, BOULEVARD SAINT-GERMAIN, 79

1875

AVIS

RELATIF A LA TRADUCTION JUXTALINÉAIRE.

On a réuni par des traits les mots français qui traduisent un seul mot grec.

On a imprimé en *italique* les mots qu'il était nécessaire d'ajouter pour rendre intelligible la traduction littérale, et qui n'ont pas leur équivalent dans le grec.

Enfin, les mots placés entre parenthèses, dans le français, doivent être considérés comme une seconde explication, plus intelligible que la version littérale.

ARGUMENT ANALYTIQUE

DE LA POÉTIQUE D'ARISTOTE.

I. § 1. La poésie consiste dans l'imitation ; trois différences entre les imitations.

§ 2. Différentes sortes de poésie selon les moyens d'imitation.

II. Différentes sortes de poésie selon les objets imités.

III. Différentes sortes de poésie selon la manière d'imiter.

IV. § 1. Origine de la poésie.

§ 2. Divisions primitives de la poésie : genre héroïque, genre ïambique (ou satirique) ; origine de la tragédie et de la comédie.

§ 3. Premiers progrès de la tragédie.

V. Définition de la comédie; ses premiers progrès. Comparaison de la tragédie et de l'épopée.

VI. § 1. Définition de la tragédie. Détermination des parties dont elle se compose.

§ 2. Importance relative des parties de la tragédie.

VII. De l'étendue de l'action.

VIII. De l'unité de l'action.

IX. § 1. Digression : comparaison de l'histoire et de la poésie. De l'élément historique dans le drame.

§ 2. Abus des épisodes dans le drame. De la surprise considérée comme moyen dramatique.

X. De l'action simple et de l'action implexe.

XI. Éléments de l'action implexe : péripétie, reconnaissance, événement tragique.

XII. Divisions de la tragédie par rapport à l'étendue.

XIII. Des qualités de la fable par rapport aux personnes. Du dénoûment.

XIV. Continuation du même sujet : de l'événement tragique dans la fable. Pourquoi la plupart des sujets tragiques sont fournis par l'histoire.

XV. § 1. Des mœurs dans la tragédie.

§ 2. De ce qu'il convient de mettre sur la scène; de l'art d'embellir les caractères.

XVI. Des quatre espèces de reconnaissance.

XVII. Conseils aux poëtes tragiques : se mettre à la place des spectateurs et des personnages de la tragédie. De l'art de développer un sujet.

XVIII. Observations sur le nœud et le dénoûment de la tragédie, sur les tragédies de dimensions épiques, sur le chœur.

XIX. Des pensées et de l'élocution.

XX. Des éléments grammaticaux du langage.

XXI. Des formes du nom et de quelques figures de grammaire.

XXII. Application des précédentes observations au style poétique.

XXIII. Retour à l'épopée et à l'histoire; de la durée des événements épiques.

XXIV. Comparaison de l'épopée avec la tragédie; nombreux mérites d'Homère.

XXV. Divers problèmes de critique au sujet des défauts de la poésie. Solution de ces problèmes.

XXVI. Retour au sujet du chapitre vingt-quatrième : comparaison de l'épopée avec la tragédie ; conclusion sur l'épopée et la tragédie.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΠΕΡΙ ΠΟΙΗΤΙΚΗΣ.

I. § 1. Περὶ ποιητικῆς αὐτῆς τε καὶ τῶν εἰδῶν αὐτῆς, ἥντινα δύναμιν ἕκαστόν τι[1] ἔχει, καὶ πῶς δεῖ συνίστασθαι τοὺς μύθους, εἰ μέλλει καλῶς ἕξειν ἡ ποίησις, ἔτι δὲ ἐκ πόσων καὶ ποίων ἐστὶ μορίων, ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα τῆς αὐτῆς ἐστι μεθόδου, λέγωμεν, ἀρξάμενοι κατὰ φύσιν πρῶτον ἀπὸ τῶν πρώτων.

Ἐποποιία δὴ καὶ ἡ τῆς τραγῳδίας ποίησις, ἔτι δὲ κωμῳδία καὶ ἡ διθυραμβοποιητικὴ καὶ τῆς αὐλητικῆς ἡ πλείστη[2] καὶ κιθαριστικῆς, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον.

I. § 1. Nous allons traiter de la poésie en elle-même et de ses diverses espèces, de l'essence propre à chacune d'elles, de la manière de composer les fables pour que l'œuvre du poëte soit bonne, puis du nombre et de la nature des parties [qui composent chaque genre], ainsi que des autres sujets qui se rapportent à cet art, et, comme il est naturel, nous commencerons avant tout par les principes.

L'épopée, la tragédie, la comédie, le dithyrambe, presque tous les genres de musique qui emploient la flûte ou la cithare, sont, en général, des imitations. Ces imitations ont

ARISTOTE.

DE LA POÉTIQUE.

I. § 1. Λέγωμεν
περὶ ποιητικῆς
αὐτῆς τε
καὶ τῶν εἰδῶν αὐτῆς,
ἥντινα δύναμιν
ἕκαστόν τι ἔχει,
καὶ πῶς δεῖ συνίστασθαι
τοὺς μύθους,
εἰ ἡ ποίησις μέλλει
ἕξειν καλῶς,
ἔτι δὲ
πόσων καὶ ποίων μορίων
ἐστί,
ὁμοίως δὲ
καὶ περὶ τῶν ἄλλων
ὅσα ἐστὶ
τῆς αὐτῆς μεθόδου,
ἀρξάμενοι κατὰ φύσιν
πρῶτον ἀπὸ τῶν πρώτων.
Ἐποποιία δὴ
καὶ ἡ ποίησις τῆς τραγῳδίας,
ἔτι δὲ κωμῳδία
καὶ ἡ διθυραμβοποιητικὴ
καὶ ἡ πλείστη
τῆς αὐλητικῆς καὶ κιθαριστικῆς
τυγχάνουσι πᾶσαι
οὖσαι τὸ σύνολον
μιμήσεις.

I. § 1. Parlons
sur la poésie
et elle-même
et *sur* les espèces d'elle,
quelle essence
chacune *d'elles* a,
et comment il faut composer
les fables,
si la poésie (l'œuvre poétique) doit
être bien,
et en outre
de combien et de quelles parties
elle est (elle se compose),
et semblablement
parlons aussi sur les autres *sujets*
tous-ceux-qui sont
de la même méthode,
ayant commencé selon la nature
d'abord par les premières choses.
L'épopée donc
et la poésie de la tragédie,
et en outre la comédie
et *l'art* dithyrambique
et la plus grande *partie*
de l'aulétique et de la citharistique
se trouvent toutes
étant dans le général (en général)
des imitations.

Διαφέρουσι δὲ ἀλλήλων τρισίν· ἢ γὰρ τῷ γένει ἑτέροις μιμεῖσθαι, ἢ τῷ ἕτερα, ἢ τῷ ἑτέρως καὶ μὴ τὸν αὐτὸν τρόπον.

§ 2. Ὥσπερ γὰρ (ἆρα?) καὶ χρώμασι καὶ σχήμασι πολλὰ μιμοῦνταί τινες ἀπεικάζοντες (οἱ μὲν διὰ τέχνης, οἱ δὲ διὰ συνηθείας), ἕτεροι δὲ διὰ τῆς φωνῆς, οὕτω κἀν ταῖς εἰρημέναις τέχναις, ἅπασαι μὲν ποιοῦνται τὴν μίμησιν ἐν ῥυθμῷ καὶ λόγῳ καὶ ἁρμονίᾳ, τούτοις δ' ἢ χωρὶς ἢ μεμιγμένοις· οἷον ἁρμονίᾳ μὲν καὶ ῥυθμῷ χρώμεναι μόνον ἥ τε αὐλητικὴ καὶ ἡ κιθαριστική, κἂν εἴ[1] τινες ἕτεραι τυγχάνουσιν οὖσαι τοιαῦται τὴν δύναμιν, οἷον ἡ τῶν συρίγγων[2]· αὐτῷ δὲ τῷ ῥυθμῷ μιμοῦνται χωρὶς ἁρμονίας οἱ τῶν ὀρχηστῶν[3]· καὶ γὰρ οὗτοι διὰ τῶν σχηματιζομένων ῥυθμῶν μιμοῦνται καὶ ἤθη καὶ πάθη καὶ πράξεις. Ἡ δὲ ἐποποιία

entre elles trois différences : d'abord celle des moyens, ensuite celle des objets, enfin celle de la manière dont on imite.

§ 2. De même en effet que, dans certains arts, on imite et on figure avec les couleurs et le geste (ceux-ci par méthode, ceux-là par habitude), ou enfin avec la voix (?), de même, dans les arts nommés plus haut, l'imitation s'accomplit par le rhythme, la parole et l'harmonie, ou séparés ou réunis. Ainsi l'harmonie et le rhythme servent seuls dans l'aulétique et la citharistique, et dans les autres musiques de même nature, comme celle de la syringe; la danse imite par le rhythme seul, sans harmonie, puisque c'est par des rhythmes figurés que les danseurs expriment les mœurs, les passions et les actions. L'é-

Διαφέρουσι δὲ ἀλλήλων
τρίσιν·
ἢ γὰρ τῷ μιμεῖσθαι
ἑτέροις γένει,
ἢ τῷ ἕτερα,
ἢ τῷ ἑτέρως
καὶ μὴ τὸν αὐτὸν τρόπον.

§ 2. Ὥσπερ γὰρ (ἄρα)
τινὲς ἀπεικάζοντες
μιμοῦνται πολλὰ
καὶ χρώμασι καὶ σχήμασι
(οἱ μὲν διὰ τέχνης,
οἱ δὲ διὰ συνηθείας),
ἕτεροι δὲ
διὰ τῆς φωνῆς,
οὕτω καὶ ἐν ταῖς τέχναις
εἰρημέναις,
ἅπασαι μὲν ποιοῦνται
τὴν μίμησιν
ἐν ῥυθμῷ καὶ λόγῳ
καὶ ἁρμονίᾳ,
τούτοις δὲ ἢ χωρὶς
ἢ μεμιγμένοις·
οἷον μὲν ἥ τε αὐλητικὴ
καὶ ἡ κιθαριστικὴ
χρώμεναι μόνον
ἁρμονίᾳ καὶ ῥυθμῷ,
καὶ ἂν εἴ τινες ἕτεραι
τυγχάνουσιν οὖσαι τοιαῦται
τὴν δύναμιν,
οἷον ἡ τῶν συρίγγων·
οἱ δὲ τῶν ὀρχηστῶν
μιμοῦνται τῷ ῥυθμῷ αὐτῷ
χωρὶς ἁρμονίας·
καὶ γὰρ οὗτοι μιμοῦνται
διὰ τῶν ῥυθμῶν
σχηματιζομένων
καὶ ἤθη καὶ πάθη
καὶ πράξεις.
Ἡ δὲ ἐποποιία

Mais elles diffèrent les unes-des-
par trois *points* : [autres
ou en effet par le imiter
par des *moyens* autres de genre,
ou par le *imiter* d'autres *objets*,
ou par le *imiter* autrement
et non de la même manière.

§ 2. De même que en effet (donc)
certains reproduisant-une-ressem-
imitent beaucoup [blance
et par les couleurs et par les gestes
(les uns par art,
les autres par habitude),
d'autres d'autre part
par la voix,
ainsi également dans les arts
nommés *plus haut*,
tous d'une part pratiquent
l'imitation [role
au moyen du rhythme et de la pa-
et de l'harmonie,
et avec ceux-ci ou séparément
ou mélangés :
comme d'une part et l'aulétique.
et la citharistique
se servant seulement
de l'harmonie et du rhythme,
et si quelques autres *arts*
se trouvent étant tels
quant à l'essence,
comme l'*art* des syringes ;
d'autre part les *fils* des danseurs
imitent par le rhythme même (seul)
sans l'harmonie ;
car ceux-ci imitent
par les rhythmes
accompagnés-de-gestes
et les mœurs, et les passions,
et les actions.
D'autre part l'épopée

μόνον τοῖς λόγοις ψιλοῖς ἢ τοῖς μέτροις, καὶ τούτοις εἴτε μιγνῦσα μετ' ἀλλήλων, εἴθ' ἑνί τινι γένει χρωμένη τῶν μέτρων.... τυγχάνουσα[1] μέχρι τοῦ νῦν. Οὐδὲν γὰρ ἂν ἔχοιμεν ὀνομάσαι κοινὸν τοὺς Σώφρονος καὶ Ξενάρχου μίμους[2] καὶ τοὺς Σωκρατικοὺς λόγους, οὐδὲ εἴ τις διὰ τριμέτρων ἢ ἐλεγείων ἢ τῶν ἄλλων τινῶν τῶν τοιούτων ποιοῖτο τὴν μίμησιν. Πλὴν οἱ ἄνθρωποί γε συνάπτοντες τῷ μέτρῳ τὸ ποιεῖν ἐλεγειοποιοὺς τοὺς δὲ ἑποποιοὺς ὀνομάζουσιν, οὐχ ὡς κατὰ τὴν μίμησιν ποιητάς, ἀλλὰ κοινῇ κατὰ τὸ μέτρον προσαγορεύοντες. Καὶ γὰρ ἂν ἰατρικὸν ἢ μουσικόν τι διὰ τῶν μέτρων ἐκφέρωσιν, οὕτω καλεῖν εἰώθασιν· οὐδὲν δὲ κοινόν ἐστιν Ὁμήρῳ καὶ Ἐμπεδοκλεῖ[3] πλὴν τὸ μέτρον· διὸ τὸν μὲν ποιητὴν δίκαιον καλεῖν, τὸν δὲ φυσιολόγον μᾶλλον ἢ ποιητήν. Ὁμοίως δὲ κἂν εἴ τις

popée n'emploie que la prose ou les vers, et les vers soit de diverses espèces à la fois, soit d'une seule, [comme?] on l'a fait jusqu'ici. [J'ai dit la prose ou les vers,] car autrement dans quelle classe commune pourrait-on ranger les mimes de Sophron et de Xénarque, les dialogues Socratiques, et les imitations en trimètres ïambiques, en vers élégiaques ou en vers de toute autre espèce? Il est vrai que les hommes rattachant l'idée de mètre à celle de composition, disent « compositeurs d'élégie ou compositeurs d'épos », réunissant deux sortes d'auteurs sous le nom commun de poëte, à cause du vers, et non pas de l'objet imité. Ainsi, qu'un ouvrage soit composé en vers sur la médecine ou sur quelque sujet littéraire, ils lui donnent le même nom dans les deux cas; mais Homère et Empédocle n'ont rien de commun que le mètre. Aussi l'un est vraiment un poëte; pour l'autre, il faudrait plutôt l'appeler physicien. De même, quand un auteur au-

τυγχάνουσα μέχρι τοῦ νῦν
μόνον τοῖς λόγοις ψίλοις
ἢ τοῖς μέτροις,
καὶ τούτοις
εἴτε μιγνῦσα μετὰ ἀλλήλων,
εἴτε χρωμένη
τινὶ ἑνὶ γένει τῶν μέτρων....
Ἔχοιμεν γὰρ ἂν οὐδὲν
ὀνομάσαι κοινὸν
τοὺς μίμους Σώφρονος
καὶ Ξενάρχου
καὶ τοὺς λόγους Σωκρατικούς,
οὐδὲ εἴ τις
ποιοῖτο τὴν μίμησιν
διὰ τριμέτρων ἢ ἐλεγείων
ἢ τινῶν τῶν ἄλλων
τῶν τοιούτων.
Πλὴν οἱ ἄνθρωποί γε
συνάπτοντες τῷ μέτρῳ
τὸ ποιεῖν
ὀνομάζουσιν
ἐλεγοποιούς,
τοὺς δὲ ἐποποιούς,
προσαγορεύοντες ποιητάς,
οὐχ ὡς κατὰ τὴν μίμησιν,
ἀλλὰ κοινῇ
κατὰ τὸ μέτρον.
Καὶ γὰρ ἂν ἐκφέρωσίν
τι ἰατρικὸν ἢ μουσικὸν
διὰ τῶν μέτρων,
εἰώθασιν καλεῖν οὕτω·
οὐδὲν δὲ κοινόν ἐστιν
Ὁμήρῳ καὶ Ἐμπεδοκλεῖ
πλὴν τὸ μέτρον·
διὸ δίκαιον καλεῖν
τὸν μὲν ποιητήν,
τὸν δὲ φυσιολόγον
μᾶλλον ἢ ποιητήν.
Ὁμοίως δὲ
καὶ ἂν εἴ τις

se trouvant jusqu'à présent
se servir seulement des paroles non-
ou des vers, [cadencées
et de ceux-ci
soit en *les* mélangeant les uns-avec-
soit usant [les-autres,
d'une seule espèce de vers....
Car nous ne pourrions en rien
avoir nommé *d'un nom* commun
les mimes de Sophron
et de Xénarque
et les discours Socratiques,
ni si quelqu'un
pratiquait l'imitation [giaques
par des trimètres ou des *vers* élé-
ou par quelques autres
tels.
Mais les hommes certes
attachant au mètre
le composer (l'idée de composer)
appellent *les uns*
compositeurs-d'-élégie,
les autres compositeurs-d'-épopée,
les appelant poëtes, [tion,
non comme en-raison-de l'imita-
mais d'un *nom* commun
en-raison du vers.
Car si ils produisent (si on produit)
quelque *ouvrage* médical ou litté-
en vers, [raire
ils ont-coutume de *l'*appeler ainsi ;
mais rien de commun n'est
à Homère et à Empédocle
excepté le mètre ;
c'est pourquoi *il est* juste d'appeler
l'un poëte,
l'autre physicien
plutôt que poëte.
Semblablement d'autre part
aussi si quelqu'un

ἅπαντα τὰ μέτρα μιγνύων ποιοῖτο τὴν μίμησιν, καθάπερ Χαιρήμων ἐποίησε Κένταυρον μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων, οὐκ ἤδη καὶ ποιητὴν προσαγορευτέον. Περὶ μὲν οὖν τούτων διωρίσθω τοῦτον τὸν τρόπον.

Εἰσὶ δέ τινες αἳ πᾶσι χρῶνται τοῖς εἰρημένοις, λέγω δὲ οἷον ῥυθμῷ καὶ μέλει καὶ μέτρῳ, ὥσπερ ἥ τε τῶν διθυραμβικῶν ποίησις καὶ ἡ τῶν νόμων[1] καὶ ἥ τε τραγῳδία καὶ ἡ κωμῳδία· διαφέρουσι δὲ ὅτι αἱ μὲν ἅμα πᾶσιν αἱ δὲ κατὰ μέρος. Ταύτας μὲν οὖν λέγω τὰς διαφορὰς τῶν τεχνῶν ἐν οἷς ποιοῦνται τὴν μίμησιν.

II. Ἐπεὶ δὲ μιμοῦνται οἱ μιμούμενοι πράττοντας, ἀνάγκη δὲ τούτους ἢ σπουδαίους ἢ φαύλους εἶναι (τὰ γὰρ ἤθη σχεδὸν ἀεὶ τούτοις ἀκολουθεῖ μόνοις· κακίᾳ γὰρ καὶ ἀρετῇ τὰ ἤθη διαφέρουσι πάντες),

rait mêlé tous les mètres en composant une imitation, comme fit, par exemple, Chérémon, dont *le Centaure* est une rapsodie composée de toute espèce de vers, on ne l'appellera pas pour cela poëte. Conservons donc notre principe de division.

Maintenant, il y a des genres qui se servent de tous les moyens nommés plus haut, je veux dire le rhythme, l'harmonie et le mètre; par exemple, le dithyrambe et le nome, la comédie et la tragédie; mais ces genres diffèrent encore parce que les uns emploient les trois moyens ensemble, les autres séparément. Telles sont donc les différences des arts quant à leurs moyens d'imitation.

II. Puisqu'en imitant on imite les gens qui agissent, et que ceux-ci doivent nécessairement être bons ou mauvais (car les mœurs se rangent à peu près dans ces deux classes, et, quant aux mœurs, nous différons tous par le vice et la vertu),

ποιοῖτο τὴν μίμησιν
μιγνύων ἅπαντα τὰ μέτρα,
καθάπερ Χαιρήμων ἐποίησε
Κένταυρον
ῥαψῳδίαν μικτὴν
ἐξ ἁπάντων τῶν μέτρων,
οὐ προσαγορευτέον ἤδη
καὶ ποιητήν.
Διωρίσθω μὲν οὖν
περὶ τούτων
τούτον τὸν τρόπον.
Τινὲς δέ εἰσι
αἷς χρῶνται
πᾶσι τοῖς εἰρημένοις,
λέγω δὲ οἷον,
ῥυθμῷ καὶ μέλει καὶ μέτρῳ,
ὥσπερ ἥ τε ποίησις
τῶν διθυραμβικῶν
καὶ ἡ τῶν νομῶν
καὶ ἥ τε τραγῳδία
καὶ ἡ κωμῳδία·
διαφέρουσιν δὲ ὅτι
αἱ μὲν πᾶσιν ἅμα,
αἱ δὲ κατὰ μέρος.
Λέγω μὲν οὖν
τὰς διαφορὰς τῶν τεχνῶν
ταῦτας,
ἐν οἷς
ποιοῦνται τὴν μίμησιν.
II. Ἐπεὶ δὲ οἱ μιμούμενοι
μιμοῦνται τοὺς πράττοντας,
ἀνάγκη δὲ
τούτους εἶναι
ἢ σπουδαίους ἢ φαύλους
(τὰ ἤθη γὰρ
ἀκολουθεῖ σχεδὸν ἀεὶ
τούτοις μόνοις·
πάντες γὰρ διαφέρουσι
τὰ ἤθη
κακίᾳ καὶ ἀρετῇ),

pratiquait l'imitation
en mélangeant tous les mètres,
comme Chérémon fit
le Centaure
rhapsodie mêlée
de tous les mètres,
il n'*est* pas à-*l*'appeler dès-lors
aussi poëte.
Qu'il ait été défini d'une part donc
touchant ces *questions*
de cette manière.
Quelques *arts* d'autre part sont
qui se servent
de tous les *moyens* nommés,
or je dis par-exemple [mètre,
du rythme et de la mélodie et du
comme et la poésie
des *chants* dithyrambiques
et celle des nomes
ainsi-que et la tragédie,
et la comédie ;
mais ils diffèrent en-ce-que
les uns *se servent* de tous *ces moyens*
les autres par partie. [à la fois,
Je dis d'une part donc
les différences des arts
être celles-ci (telles),
dans *les moyens* par lesquels
ils pratiquent l'imitation.
II. Or puisque ceux qui imitent
imitent ceux qui agissent,
que nécessité *est* d'autre part
ceux-ci être
ou bons ou mauvais
(les mœurs en effet
suivent presque toujours
ces *distinctions* seules ;
car tous diffèrent
quant aux mœurs
par le vice et la vertu),

ἤτοι[1] βελτίονας ἢ καθ' ἡμᾶς ἢ χείρονας ἢ καὶ τοιούτους, ὥσπερ οἱ γραφεῖς· Πολύγνωτος μὲν γὰρ κρείττους, Παύσων δὲ χείρους, Διονύσιος δὲ ὁμοίους εἴκαζεν. Δῆλον δὲ ὅτι καὶ τῶν λεχθεισῶν ἑκάστη μιμήσεων ἔξει ταύτας τὰς διαφορὰς καὶ ἔσται ἑτέρα τῷ ἕτερα μιμεῖσθαι τοῦτον τὸν τρόπον. Καὶ γὰρ ἐν ὀρχήσει καὶ αὐλήσει καὶ κιθαρίσει ἔστι γενέσθαι ταύτας τὰς ἀνομοιότητας, καὶ περὶ τοὺς λόγους δὲ καὶ τὴν ψιλομετρίαν, οἷον Ὅμηρος μὲν βελτίους, Κλεοφῶν δὲ ὁμοίους, Ἡγήμων δὲ ὁ Θάσιος ὁ τὰς παρῳδίας ποιήσας πρῶτος καὶ Νικοχάρης ὁ τὴν Δηλιάδα[2] χείρους. Ὁμοίως δὲ καὶ περὶ τοὺς διθυράμβους καὶ περὶ τοὺς νόμους, ὡς Πέρσας καὶ Κύκλωπας Τιμόθεος καὶ Φιλόξενος, μιμήσαιτο ἄν τις. Ἐν αὐτῇ δὲ τῇ διαφορᾷ καὶ ἡ τραγῳδία

[il faut bien les représenter] ou meilleurs qu'ils ne sont, ou pires, ou tels qu'ils sont; il en sera comme de la peinture : Polygnote peignait les hommes plus beaux que nature, Pauson moins beaux, Denys tels qu'ils sont. Or, il est évident que chacune des imitations dont nous parlons offrira ces différences et aura des caractères distincts suivant les caractères qu'elle imite. En effet, ces diversités peuvent se trouver dans l'orchestique [ou danse d'imitation], dans l'aulétique, dans la citharistique, dans les compositions, soit en prose, soit en vers sans musique. Ainsi, Homère peint les hommes meilleurs qu'ils ne sont, Cléophon, tels qu'ils sont, Hégémon de Thasos, le premier écrivain de parodies, et Nicocharès, l'auteur de *la Déliade*, pires qu'ils ne sont. Il en est de même de l'imitation dans le dithyrambe et le nome, par exemple dans *les Perses* et dans *les Cyclopes* de Timothée et de Philoxène. La même différence sépare la tragédie

ἤτοι
βελτίονας
ἢ κατὰ ἡμᾶς,
ἢ χείρονας ἢ καὶ τοιούτους,
ὥσπερ οἱ γραφεῖς·
Πολύγνωτος μὲν γὰρ
εἴκαζε κρείττους,
Παύσων δὲ χείρους,
Διονύσιος δὲ ὁμοίους.
Δῆλον δὲ ὅτι
καὶ ἑκάστη
τῶν μιμήσεων λεχθεισῶν
ἔξει ταύτας τὰς διαφορὰς
καὶ ἔσται ἑτέρα
τῷ μιμεῖσθαι ἕτερα
τοῦτον τὸν τρόπον.
Καὶ γὰρ ἔστι
ταύτας τὰς ἀνομοιότητας
γενέσθαι ἐν ὀρχήσει
καὶ αὐλήσει
καὶ κιθαρίσει,
καὶ περὶ τοὺς λόγους δὲ
καὶ τὴν ψιλομετρίαν,
οἷον Ὅμηρος μὲν
βελτίους,
Κλεοφῶν δὲ ὁμοίους,
Ἡγήμων δὲ ὁ Θάσιος
ὁ ποιήσας πρῶτος
τὰς παρῳδίας,
καὶ Νικομάχος ὁ τὴν Δηλιάδα
χείρους.
Ὁμοίως δέ
τις μιμήσαιτο ἂν
καὶ περὶ τοὺς διθυράμβους
καὶ περὶ τοὺς νόμους,
ὡς Τιμόθεος καὶ Φιλόξενος
Πέρσας καὶ Κυκλῶπας.
Καὶ ἡ τραγῳδία δὲ
διέστηκε
πρὸς τὴν κωμῳδίαν

donc *il est nécessaire de les repré-*
meilleurs [*senter*
que par rapport à nous (que nous ne
ou pires ou même tels, [sommes),
comme *font* les peintres :
car Polygnote d'une part
les représentait meilleurs,
Pauson d'autre part pires,
Denys d'autre part semblables.
Or *il est* évident que
aussi chacune
des imitations mentionnées
aura ces différences
et sera autre
par le imiter d'autres *objets*
de cette manière.
Et en effet il est-possible
ces dissemblances
avoir-eu-lieu dans la danse
et dans l'aulétique
et dans la citharistique, [d'autre part
et touchant les discours (la prose)
et la poésie-sans-musique,
comme Homère d'une part
a représenté les hommes meilleurs,
Cléophon d'autre part semblables,
d'autre part Hégémon le Thasien,
celui qui a fait le premier
les parodies, [liade
et Nicomaque celui *qui a fait* la Dé-
les ont réprésentés pires.
Semblablement d'autre part
quelqu'un aurait imité
et touchant les dithyrambes
et touchant les nomes,
comme Timothée et Philoxène
ont représenté les Perses et les Cy-
Et la tragédie d'autre part [clopes.
est séparée
par rapport à (de) la comédie

πρὸς τὴν κωμῳδιαν διέστηκεν· ἡ μὲν γὰρ χείρους ἡ δὲ βελτίους μιμεῖσθαι βούλεται τῶν νῦν.

III. Ἔτι δὲ τούτων τρίτη διαφορὰ τὸ ὡς ἕκαστα τούτων μιμήσαιτο ἄν τις. Καὶ γὰρ ἐν τοῖς αὐτοῖς καὶ τὰ αὐτὰ μιμεῖσθαι ἔστιν ὁτὲ μὲν ἀπαγγέλλοντα ἢ ἕτερόν τι γιγνόμενον, ὥσπερ Ὅμηρος ποιεῖ, ἢ ὡς τὸν αὐτὸν καὶ μὴ μεταβάλλοντα, ἢ πάντας ὡς πράττοντας καὶ ἐνεργοῦντας τοὺς μιμουμένους.

Ἐν τρισὶ δὴ ταύταις διαφοραῖς ἡ μίμησίς ἐστιν, ὡς εἴπομεν κατ' ἀρχάς, ἐν οἷς τε καὶ ἃ καὶ ὡς. Ὥστε τῇ μὲν ὁ αὐτὸς ἂν εἴη μιμητὴς Ὁμήρῳ Σοφοκλῆς, μιμοῦνται γὰρ ἄμφω σπουδαίους· τῇ δὲ Ἀριστοφάνει· πράττοντας γὰρ μιμοῦνται καὶ δρῶντας ἄμφω. Ὅθεν καὶ δράματα καλεῖσθαί τινες αὐτά φασιν, ὅτι μιμοῦνται δρῶντας. Διὸ καὶ ἀντιποιοῦνται

de la comédie; celle-ci veut faire les hommes plus mauvais, l'autre meilleurs qu'ils ne sont aujourd'hui.

III. Il reste une troisième différence, qui est dans la manière d'imiter. En effet, tout en imitant les mêmes objets avec les mêmes moyens, le poëte peut tantôt raconter lui-même, et tantôt revêtir un autre personnage, comme fait Homère, ou bien raconter lui-même et sans changer de personnage, ou enfin mettre en action et en drame toute son imitation.

Les imitations se distinguant, comme nous l'avons dit en commençant, par les moyens, par les objets, par la manière, il s'ensuit que, à tel égard, Sophocle peut être un imitateur dans le genre d'Homère, puisque tous deux imitent le beau; et, à tel autre égard, dans le genre d'Aristophane, car tous deux imitent par l'action dramatique. C'est même pour cela, suivant quelques-uns, que ces ouvrages s'appellent *drames* (actions); et c'est pour cela aussi que les Doriens revendiquent [l'invention de]

ἐν τῇ διαφορᾷ αὐτῇ·
ἡ μὲν γὰρ βούλεται
μιμεῖσθαι χείρους,
ἡ δὲ βελτίους
τῶν νῦν.

III. Ἔτι δὲ
τρίτη διαφορὰ τούτων,
τὸ πῶς τις μιμήσαιτο ἂν
ἕκαστα τούτων.
Καὶ γὰρ ἔστι
μιμεῖσθαι ἐν τοῖς αὐτοῖς
καὶ τὰ αὐτά,
ὁτὲ μὲν ἀπαγγέλλοντα
ἢ γιγνόμενόν τι ἕτερον,
ὥσπερ Ὅμηρος ποιεῖ,
ἢ ὡς τὸν αὐτὸν
καὶ μὴ μεταβάλλοντα,
ἢ τοὺς μιμουμένους
πάντας
ὡς πράττοντας καὶ ἐνεργοῦντας.

Ἡ μίμησις ὅ᾽ ἐστιν
ἐν ταύταις τρισὶ διαφοραῖς,
ὡς εἴπομεν
κατὰ ἀρχάς,
ἐν οἷς τε
καὶ ἃ
καὶ ὡς.
Ὥστε τῇ μὲν
Σοφοκλῆς εἴη ἂν
ὁ αὐτὸς μιμήτης Ὁμήρῳ,
ἄμφω γὰρ μιμοῦνται σπουδαίους·
τῇ δὲ Ἀριστοφάνει·
ἄμφω γὰρ μιμοῦνται
πράττοντας καὶ δρῶντας.
Ὅθεν καί τινες φασιν
δράματα αὐτὰ καλεῖσθαι,
ὅτι μιμοῦνται
δρῶντας.
Διὸ καὶ οἱ Δωριεῖς
ἀντιποιοῦνται

au moyen de *cette* différence même;
l'une en effet veut
représenter *les hommes* pires,
l'autre meilleurs
que ceux de maintenant.

III. *Il est* encore d'autre part [ses,
une troisième différence de ces choà *savoir* ceci comment on aurait
chacun de ces *caractères*. [imité
Et en effet il est-possible [*cédés*
d'imiter au moyen des mêmes *pro*-
aussi les mêmes *objets*,
tantôt d'une part en racontant
ou en devenant quelque autre *per*-
comme Homère fait, [*sonnage*,
ou comme *étant* le même
et ne changeant pas *de personnage*,
ou ceux qui imitent (ou en représen-
tous [tant)
comme agissant et opérant.

L'imitation donc est
dans ces trois distinctions,
comme nous avons dit
dans les commencements, [*imite*,
et dans *les moyens* par lesquels *on*
et *dans les objets* qu'*on imite*,
et *dans* la-manière-dont *on les imite*.
De sorte que d'un côté
Sophocle serait
le même imitateur qu'Homère,
car tous-deux imitent les bons;
de l'autre qu'Aristophane:
car tous-deux imitent
des *hommes* faisant et agissant.
D'où même quelques uns disent [*si*,
les drames mêmes être appelés *a*in-
parce qu'ils représentent
des hommes agissant.
C'est pourquoi aussi les Doriens
revendiquent

τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς· τῆς μὲν γὰρ κωμῳδίας οἱ Μεγαρεῖς, οἵ τε ἐνταῦθα, ὡς ἐπὶ τῆς παρ' αὐτοῖς δημοκρατίας γενομένης, καὶ οἱ ἐκ Σικελίας, ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητής, πολλῷ πρότερος ὢν Χιωνίδου καὶ Μάγνητος· καὶ τῆς τραγῳδίας ἔνιοι τῶν ἐν Πελοποννήσῳ, ποιούμενοι τὰ ὀνόματα σημεῖον· οὗτοι μὲν γὰρ κώμας τὰς περιοικίδας καλεῖν φασίν, Ἀθηναῖοι δὲ δήμους, ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας, ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄστεως· καὶ τὸ ποιεῖν αὐτοὶ μὲν δρᾶν, Ἀθηναίους δὲ πράττειν προσαγορεύειν[1].

Περὶ μὲν οὖν τῶν διαφορῶν, καὶ πόσαι καὶ τίνες τῆς μιμήσεως, εἰρήσθω ταῦτα.

IV. § 1. Ἐοίκασι δὲ γεννῆσαι μὲν ὅλως τὴν ποιητικὴν αἰτίαι δύο τινές, καὶ αὗται φυσικαί. Τό τε γὰρ μιμεῖσθαι σύμφυτον

la tragédie et de la comédie : au sujet de la comédie, les Mégariens de notre pays allèguent la démocratie qui dominait chez eux, et ceux de Sicile citent le poëte Épicharme, sicilien, fort antérieur à Chionidès et à Magnès; quant à la tragédie, elle est réclamée par quelques Doriens du Péloponnèse; et ils invoquent les étymologies : en effet, selon les Doriens, une bourgade s'appelle chez eux *come*, et chez les Athéniens *dème;* le nom de *comédie* ne viendrait pas du verbe *comazein* (faire débauche), mais des promenades que faisaient à travers les bourgs de misérables acteurs exclus de la ville; de plus, *agir* s'exprime chez eux par *dran*, et chez les Athéniens par *prattein*.

C'est assez parler des différences de l'imitation, de leur nombre et de leur nature.

IV. § 1. La poésie en général paraît devoir sa naissance à deux causes et à deux causes naturelles. Dès l'enfance l'homme imite

τῆς τε τραγῳδίας
καὶ τῆς κωμῳδίας·
οἱ μὲν γὰρ Μεγαρεῖς
τῆς κωμῳδίας,
οἵ τε ἐνταῦθα,
ὡς γενομένης
ἐπὶ τῆς δημοκρατίας
παρὰ αὐτοῖς,
καὶ οἱ ἐκ Σικελίας,
ὁ γὰρ ποιητὴς Ἐπίχαρμος,
ὢν πόλλῳ πρότερος
Χιωνίδου καὶ Μάγνητος
ἦν ἐκεῖθεν·
καὶ ἔνιοι τῶν ἐν Πελοποννήσῳ
τῆς τραγῳδίας,
ποιούμενοι σημεῖον
τὰ ὀνόματα·
οὗτοι μὲν γάρ φασι
καλεῖν κώμας
τὰς περιοικίδας,
Ἀθηναῖοι δὲ δήμους,
ὡς κωμῳδοὺς
λεχθέντας
οὐκ ἀπὸ τοῦ κωμάζειν,
ἀλλὰ τῇ πλάνῃ
κατὰ κώμας
ἀτιμαζομένους ἐκ τοῦ ἄστεως·
καὶ αὐτοὶ μὲν προσαγορεύειν
τὸ ποιεῖν δρᾶν,
Ἀθηναῖοι δὲ πράττειν.

Ταῦτα μὲν οὖν
εἰρήσθω
περὶ τῶν διαφορῶν
τῆς μιμήσεως,
καὶ πόσαι καὶ τίνες.

IV. § 1. Δύο δέ τινες αἰτίαι,
καὶ αὗται φυσικαί,
ἐοίκασι μὲν ὅλως
γεννῆσαι τὴν ποιητικήν.
Τό τε γὰρ μιμεῖσθαί ἐστι

et la tragédie
et la comédie :
d'une part en effet les Mégariens
revendiquent la comédie, [Grèce),
et ceux (les Mégariens) d'ici (de la
comme étant née
sous la démocratie
qui existait chez eux,
et ceux (les Mégariens) de Sicile,
car le poëte Épicharme,
étant de beaucoup antérieur
à Chionidès et à Magnès
était de là ; [le Péloponnèse
et quelques-uns *des Doriens* dans
revendiquent la tragédie,
faisant (donnant) *comme* preuve
les noms ;
ceux-ci en effet d'une part disent
appeler *comes*
les environs-de-la-ville, [*ler* dèmes,
les Athéniens d'autre part *les appe-*
comme (prétendant que) les comé-
ayant été appelés [diens
non de *comazein* (faire débauche),
mais par suite de *leur* promenade
à travers les *comes* [la ville;
étant rejetés-ignominieusement de
et eux-mêmes d'une part appeler
le agir (l'action) *dran*, [*prattein*
les Athéniens d'autre part *l'appeler*

Que ces choses d'une part donc
aient été dites
sur les différences
de l'imitation, [*elles sont*
et combien-nombreuses et quelles

IV. §. 1. Or deux certaines causes,
et celles-ci naturelles,
paraissent d'une part en-général
avoir produit la poésie.
Car et le imiter est

τοῖς ἀνθρώποις ἐκ παίδων ἐστί, καὶ τούτῳ διαφέρουσι τῶν ἄλλων ζῴων ὅτι μιμητικώτατόν ἐστι καὶ τὰς μαθήσεις ποιεῖται διὰ μιμήσεως τὰς πρώτας, καὶ τὸ χαίρειν τοῖς μιμήμασι πάντας. Σημεῖον δὲ τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἔργων· ἃ γὰρ αὐτὰ λυπηρῶς ὁρῶμεν, τούτων τὰς εἰκόνας τὰς μάλιστα ἠκριβωμένας χαίρομεν θεωροῦντες, οἷον θηρίων τε μορφὰς τῶν ἀτιμοτάτων καὶ νεκρῶν. Αἴτιον δὲ καὶ τούτου, ὅτι μανθάνειν οὐ μόνον τοῖς φιλοσόφοις ἥδιστον ἀλλὰ καὶ τοῖς ἄλλοις ὁμοίως· ἀλλ' ἐπὶ βραχὺ κοινωνοῦσιν[1] αὐτοῦ. Διὰ γὰρ τοῦτο χαίρουσι τὰς εἰκόνας ὁρῶντες, ὅτι συμβαίνει θεωροῦντας μανθάνειν καὶ συλλογίζεσθαι τί ἕκαστον, οἷον ὅτι οὗτος ἐκεῖνος· ἐπεὶ ἐὰν μὴ τύχῃ προεωρακώς, οὐ διὰ μίμημα ποιήσει τὴν ἡδονήν,

par instinct, et même un des caractères qui le distinguent des autres animaux, c'est qu'il est de tous le plus imitateur. C'est par l'imitation qu'il prend ses premières leçons; enfin ce qui est imité lui plaît toujours. On en peut juger par les productions des arts : des objets que, dans la réalité, nous verrions avec peine, par exemple, les bêtes les plus hideuses, les cadavres, nous en contemplons avec plaisir les représentations les plus exactes. Pourquoi cela? Parce qu'apprendre est un plaisir non-seulement pour les philosophes, mais aussi pour les autres hommes, quoique ces derniers n'en jouissent qu'à un faible degré. Or, ce qui cause leur plaisir en voyant une image, c'est qu'à la première vue ils peuvent deviner et comprendre, par exemple, que cette figure est un tel. Car, s'il arrive qu'on n'ait point vu l'original, ce n'est plus l'imitation qui produira le plaisir,

σύμφυτον τοῖς ἀνθρώποις
ἐκ παίδων,
καὶ διαφέρουσι τούτῳ
τῶν ἄλλων ζώων
ὅτι ἐστὶ μιμητικώτατον,
καὶ ποιεῖται
τὰς πρώτας μαθήσεις
διὰ μιμήσεως,
καὶ τὸ πάντας χαίρειν
τοῖς μιμήμασι.
Τὸ δὲ συμβαῖνον
ἐπὶ τῶν ἔργων
σημεῖον τούτου·
χαίρομεν γὰρ
θεωροῦντες
τὰς εἰκόνας
τὰς ἠκριβωμένας μάλιστα
τούτων
ἃ ὁρῶμεν αὐτὰ λυπηρῶς,
οἷον μορφὰς
τῶν τε θηρίων ἀτιμοτάτων
καὶ νεκρῶν.
Αἴτιον δὲ καὶ τούτου,
ὅτι ἥδιστον μανθάνειν
οὐ μόνον τοῖς φιλοσόφοις
ἀλλὰ καὶ τοῖς ἄλλοις
ὁμοίως·
ἀλλὰ κοινωνοῦσι τούτου
ἐπὶ βραχύ.
Ὁρῶντες γὰρ τὰς εἰκόνας
χαίρουσι διὰ τοῦτο,
ὅτι συμβαίνει θεωροῦντας
μανθάνειν καὶ συλλογίζεσθαι
τί ἕκαστον,
οἷον ὅτι οὗτος
ἐκεῖνος·
ἐπεὶ ἐὰν μή τύχῃ
προεωρακώς,
ποιήσει τὴν ἡδονὴν
οὐ διὰ μίμημα,

naturel aux hommes
dès les enfants (dès l'enfance),
et ils diffèrent en cela
des autres animaux [tateur,
en-ce-qu'il est *l'animal* le plus imi-
et *qu'*il fait-pour-lui (qu'il acquiert)
les premières connaissances
par l'imitation,
et le tous se réjouir [*mes.*
des imitations *est naturel aux hom-*
Or ce qui arrive
à propos des ouvrages *de l'art*
est la preuve de cela :
car nous nous réjouissons
contemplant
les images [ment le plus
cellesayant-été-reproduites-exacte-
de ces *objets* [peine,
que nous voyons eux-mêmes avec-
comme les formes
et des bêtes les plus viles
et des cadavres.
D'autre part aussi cause de ceci *est*,
qu'*il est* très-agréable d'apprendre
non-seulement pour les philosophes
mais encore pour les autres
semblablement ; [plaisir)
mais ils participent à cela (à ce
pour un peu.
Car en voyant les images
ils se réjouissent à cause de cela,
qu'il *leur* arrive en considérant
d'apprendre et de comprendre
quel *est* chaque *objet*,
comme que celui-ci
est celui-là (un tel) ;
car s'il ne s'est pas trouvé
*l'*ayant-vu-auparavant,
l'*objet* fera le plaisir
non à cause de l'imitation,

ἀλλὰ διὰ τὴν ἀπεργασίαν ἢ τὴν χροιὰν ἢ διὰ τοιαύτην τινὰ ἄλλην αἰτίαν. Κατὰ φύσιν δὲ ὄντος ἡμῖν τοῦ μιμεῖσθαι καὶ τῆς ἁρμονίας καὶ τοῦ ῥυθμοῦ (τὰ γὰρ μέτρα ὅτι μόρια τῶν ῥυθμῶν ἐστὶ φανερόν), ἐξ ἀρχῆς οἱ πεφυκότες πρὸς αὐτὰ μάλιστα κατὰ μικρὸν προάγοντες ἐγέννησαν τὴν ποίησιν ἐκ τῶν αὐτοσχεδιασμάτων.

§ 2. Διεσπάσθη δὲ κατὰ τὰ οἰκεῖα ἤθη ἡ ποίησις· οἱ μὲν γὰρ σεμνότεροι τὰς καλὰς ἐμιμοῦντο πράξεις καὶ τὰς τῶν τοιούτων, οἱ δὲ εὐτελέστεροι τὰς τῶν φαύλων, πρῶτον ψόγους ποιοῦντες, ὥσπερ ἕτεροι ὕμνους καὶ ἐγκώμια. Τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς ἔχομεν εἰπεῖν τοιοῦτον ποίημα, εἰκὸς δὲ εἶναι πολλούς· ἀπὸ δὲ Ὁμήρου ἀρξαμένοις ἐστιν, οἷον ἐκείνου ὁ Μαργίτης[1] καὶ τὰ τοιαῦτα, ἐν οἷς καὶ τὸ ἁρμόττον ἰαμβεῖον ἦλθε μέτρον· διὸ καὶ ἰαμβεῖον καλεῖται νῦν,

c'est l'exécution, ou la couleur ou quelque autre cause analogue. Maintenant, outre l'instinct d'imitation, celui de l'harmonie et du rhythme nous étant naturel (quant au mètre, il est clair que c'est une partie du rhythme), les hommes [les plus] heureusement nés, perfectionnèrent peu à peu ce double instinct de leur nature, et firent naître la poésie de l'improvisation.

§ 2. Puis la poésie se partagea suivant le caractère des poëtes : les esprits élevés imitèrent les actions nobles et celles des personnages honorables; les esprits moins élevés imitèrent celles des hommes vicieux et composèrent d'abord des satires, comme les autres composaient des hymnes et des éloges. En ce genre, nous ne pouvons citer aucun poëme antérieur à Homère, et toutefois il est probable qu'il y en a eu beaucoup; mais à partir d'Homère, nous en avons, comme son *Margitès* et les poëmes analogues, où l'on a employé l'ïambe, qui convient à ce genre et qui même l'a fait ap-

ἀλλὰ διὰ τὴν ἀπεργασίαν
ἢ διὰ τὴν χροιὰν
ἢ διὰ τινὰ ἀλλὴν αἰτίαν
τοιαύτην.

mais à cause de l'exécution
ou à cause de la couleur
ou pour quelque autre cause
telle.

Τοῦ δὲ μιμεῖσθαι
ὄντος ἡμῖν κατὰ φύσιν
καὶ τῆς ἁρμονίας
καὶ τοῦ ῥυθμοῦ
(φανερὸν γὰρ
ὅτι μέτρα ἐστὶ
μόρια τοῦ ῥυθμοῦ),
ἐξ ἀρχῆς
οἱ πεφυκότες μάλιστα
πρὸς ταῦτα,
προάγοντες κατὰ μικρόν,
ἐγέννησαν τὴν ποίησιν
ἐκ τῶν αὐτοσχεδιασμάτων.

Or le imiter
étant à nous naturellement
et (ainsi que) l'harmonie
et le rhythme
(car *il est* évident
que les mètres sont
des parties du rhythme),
dès l'origine [*sement*
ceux qui étaient nés le plus *heureu-*
pour ces choses,
les faisant-avancer peu à peu,
firent-naître la poésie
des improvisations.

§ 2. Ἡ δὲ ποίησις διεσπάσθη
κατὰ τὰ ἤθη οἰκεῖα·
οἱ μὲν γὰρ
σεμνότεροι
ἐμιμοῦντο τὰς πράξεις καλὰς
καὶ τὰς τῶν τοιούτων,
οἱ δὲ εὐτελέστεροι
τὰς τῶν φαύλων,
ποιοῦντες πρῶτον ψόγους,
ὥσπερ ἕτεροι
ὕμνους καὶ ἐγκώμια.
Ἔχομεν μὲν οὖν
εἰπεῖν ποίημα τοιοῦτον
οὐδενὸς τῶν πρὸ Ὁμήρου,
εἰκὸς δὲ
πολλοὺς εἶναι·
ἔστι δὲ
ἀρξαμένοις ἀπὸ Ὁμήρου,
οἷον ὁ Μαργίτης ἐκείνου
καὶ τὰ τοιαῦτα,
ἐν οἷς καί τὸ μέτρον ἰαμβεῖον
ἦλθεν ἁρμόττον :
διὸ καλεῖται νῦν

§ 2. Or la poésie se partagea
suivant les caractères particuliers :
ceux d'une part en effet
étant plus graves
imitaient les actions belles (nobles)
et celles de *ceux qui étaient* tels,
d'autre part ceux *étant* plus vils
imitaient celles des *gens* vicieux,
composant d'abord des critiques,
comme les autres
des hymnes et des éloges.
Or nous *ne* pouvons d'une part
avoir cité un poëme tel [Homère,
d'aucun de ceux (des poëtes) avant
d'autre part *il est* vraisemblable
beaucoup *de poëtes* être *avant ;*
mais il est-possible *d'en citer* [re,
à *nous* ayant commencé par Homè-
comme *est* le Margitès de celui-ci
et les *poëmes* tels, [bique
dans lesquels aussi le mètre ïam-
vint s'*y* adaptant : [tenant
c'est pourquoi il est appelé main-

ἓν τῷ μέτρῳ τούτῳ ἰάμβιζον ἀλλήλους. Καὶ ἐγένοντο τῶν παλαιῶν οἱ μὲν ἡρωϊκῶν οἱ δὲ ἰάμβων ποιηταί. Ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν (μόνος γὰρ οὐχ ὅτι εὖ, ἀλλ' ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν), οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δραματοποιήσας· ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας. Παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας, οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν, οἱ μὲν ἀντὶ τῶν ἰάμβων κωμῳδοποιοὶ ἐγένοντο, οἱ δὲ ἀντὶ τῶν ἐπῶν τραγῳδοδιδάσκαλοι, διὰ τὸ μείζω καὶ ἐντιμότερα τὰ σχήματα εἶναι ταῦτα ἐκείνων.

Τὸ μὲν οὖν ἐπισκοπεῖν εἰ ἄρ' ἔχει ἤδη ἡ τραγῳδία τοῖς

peler *ïambique*, parce que c'est dans ce mètre qu'on s'injuriait (*iambizon*) mutuellement. Ainsi, il y eut dès l'antiquité des poëtes héroïques et des poëtes satiriques. [Parmi eux] Homère, de même qu'il est éminemment le poëte de l'imitation sérieuse (et, dans ce genre, il est le seul qui excelle et dont les imitations soient dramatiques), a aussi offert les premières formes de la comédie, ayant exprimé d'une manière dramatique non plus le blâme sérieux, mais le ridicule : en effet, le *Margitès* est à la comédie ce que sont à la tragédie l'Iliade et l'Odyssée. La tragédie et la comédie s'étant une fois montrées, ceux que leur nature poussait à l'une ou à l'autre de ces compositions firent des comédies au lieu de faire des satires, et des tragédies au lieu de poëmes épiques, parce que ces deux nouvelles formes avaient acquis plus d'importance et d'éclat que les deux autres.

Maintenant la tragédie a-t-elle pris toutes les formes qu'elle peut

καὶ ἰαμβεῖον,
ὅτι ἰάμβιζον ἀλλήλους
ἐν τούτῳ τῷ μέτρῳ.
Καὶ τῶν παλαιῶν
οἱ μὲν ἐγένοντο ποιηταὶ
ἡρωϊκῶν,
οἱ δὲ ἰάμβων.
Ὥσπερ δὲ Ὅμηρος
ἦν μάλιστα ποιητὴς
καὶ τὰ σπουδαῖα
(οὐ γὰρ ὅτι
μόνος εὖ,
ἀλλὰ ὅτι καὶ ἐποίησε
μιμήσεις δραματικάς),
οὕτω καὶ ὑπέδειξε πρῶτος
τὰ σχήματα τῆς τραγῳδίας,
δραματοποιήσας
οὐ ψόγον ἀλλὰ τὸ γελοῖον·
ὁ γὰρ Μαργίτης
ἔχει ἀνάλογον,
ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια,
πρὸς τας τραγῳδίας,
οὕτω καὶ οὗτος
πρὸς τὰς κωμῳδίας.
Τῆς δὲ τραγῳδίας καὶ κωμῳδίας
παραφανείσης,
οἱ ὁρμῶντες
ἐπὶ τὴν ἑκατέραν ποίησιν
κατὰ τὴν φύσιν οἰκείαν,
ἐγένοντο οἱ μὲν
κωμῳδοποιοὶ
ἀντὶ τῶν ἰάμβων,
οἱ δὲ
τραγῳδοδιδάσκαλοι
ἀντὶ τῶν ἐπῶν,
διὰ τὸ
ταῦτα τὰ σχήματα εἶναι
μείζω καὶ ἐντιμότερα
ἐκείνων.

Τὸ μὲν οὖν ἐπισκοπεῖν

aussi *poëme* ïambique,
parce qu'ils s'injuriaient (*iambizon*)
dans ce mètre. [les-uns-les-autres
Et des anciens
les uns furent poëtes
de *vers* héroïques,
les autres d'iambes.
Or de même qu'Homère
a été principalement poëte
aussi *pour* les choses sérieuses
(car *je* ne *dis* pas *seulement* que
seul *il a* bien *fait*,
mais *je dis* qu'aussi il a fait
des imitations dramatiques), [mier
de même aussi il a montré le pre-
les formes de la tragédie,
ayant mis-en-drame
non le blâme mais le ridicule :
car le Margitès
tient une *place* analogue,
comme l'Iliade et l'Odyssée,
par rapport aux tragédies,
de même lui aussi
par rapport aux comédies.
Or la tragédie et la comédie
s'étant montrées,
ceux qui se portaient
vers l'une-ou-l'autre poésie
selon *leur* nature particulière,
devinrent les uns
faiseurs-de-comédies
au lieu de *faiseurs* d'ïambes,
les autres
compositeurs-de-tragédies
au lieu de *compositeurs* d'épopées,
à cause de ceci
ces formes être
plus grandes et plus estimées
que celles-là.

Or d'une part le examiner

εἴδεσιν ἱκανῶς ἢ οὔ, αὐτό τε καθ' αὑτὸ κρίνεται (?) ἢ καὶ πρὸς τὰ θέατρα, ἄλλος λόγος.

§ 3. Γενομένης οὖν ἀπ' ἀρχῆς αὐτοσχεδιαστικῆς[1], καὶ αὐτὴ καὶ ἡ κωμῳδία, καὶ ἡ μὲν ἀπὸ τῶν ἐξαρχόντων τὸν διθύραμβον, ἡ δὲ ἀπὸ τῶν τὰ φαλλικά, ἃ ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν πόλεων διαμένει νομιζόμενα, κατὰ μικρὸν ηὐξήθη προαγόντων ὅσον ἐγίγνετο φανερὸν αὐτῆς, καὶ πολλὰς μεταβολὰς μεταβαλοῦσα ἡ τραγῳδία ἐπαύσατο, ἐπεὶ ἔσχε τὴν αὑτῆς φύσιν. Καὶ τό τε τῶν ὑποκριτῶν πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε, καὶ τὰ τοῦ χοροῦ ἠλάττωσε, καὶ τὸν λόγον πρωταγωνιστὴν παρεσκεύασεν[2]· τρεῖς δὲ καὶ σκηνογραφίαν Σοφοκλῆς. Ἔτι δὲ τὸ μέγεθος ἐκ μικρῶν μύθων καὶ λέξεως γελοίας, διὰ τὸ ἐκ σατυρικοῦ μεταβαλεῖν, ὀψὲ ἀπεσεμνύνθη·

prendre, soit en elle-même, soit par rapport aux spectateurs? c'est une autre question.

§ 3. Étant donc née primitivement de l'improvisation (puisque la tragédie et la comédie remontent, l'une aux chanteurs de dithyrambes, l'autre aux chanteurs de ces hymnes phalliques dont l'usage s'est perpétué jusqu'à nous dans plusieurs villes), la tragédie se développa peu à peu, l'art du poëte aidant à ses progrès naturels, et elle ne cessa de se transformer que lorsqu'elle eut trouvé son véritable génie. Ainsi ce fut Eschyle qui, le premier, introduisit deux acteurs au lieu d'un, amoindrit le rôle du chœur et créa celui du protagoniste [ou acteur principal]. Sophocle ajouta un troisième acteur et décora la scène de peintures. Des fables courtes et du style plaisant, particuliers au genre satyrique dont elle sortait, la tragédie ne s'éleva que tard à la grandeur et à la noblesse.

εἰ ἄρα ἡ τραγῳδία
ἔχει ἤδη ἱκανῶς
τοῖς εἴδεσιν
ἢ οὔ,
αὐτό τε κρίνεται κατὰ αὐτὸ
ἢ πρὸς τὸ τὰ θέατρα,
ἄλλος λόγος.

§ 3. Γενομένης οὖν
αὐτοσχεδιαστικῆς ἀπὸ ἀρχῆς,
καὶ αὐτὴ καὶ ἡ κωμῳδία,
καὶ ἡ μὲν ἀπὸ
τῶν ἐξαρχόντων τὸν διθύραμβον,
ἡ δὲ ἀπὸ
τῶν τὰ φαλλικά,
ἃ διαμένει ἔτι καὶ νῦν
νομιζόμενα
ἐν πολλαῖς τῶν πόλεων,
ἡ τραγῳδία
ηὐξήθη κατὰ μικρόν,
προαγόντων
ὅσον αὐτῆς ἐγίνετο φανερόν,
καὶ ἐπαύσατο μεταβαλοῦσα
πολλὰς μεταβολάς,
ἐπεὶ ἔσχε τὴν φύσιν αὐτῆς.
Καὶ Αἰσχύλος πρῶτος
ἤγαγέ τε
τὸ πλῆθος τῶν ὑποκριτῶν
ἐξ ἑνὸς εἰς δύο,
καὶ ἠλάττωσε
τὰ τοῦ χοροῦ,
καὶ παρεσκεύασε
τὸν λόγον πρωταγωνιστήν·
Σοφοκλῆς δὲ τρεῖς
καὶ σκηνογραφίαν.
Ἔτι δὲ τὸ μέγεθος
ἀπεσεμνύνθη ὀψὲ
ἐκ μύθων μικρῶν
καὶ λέξεως γελοίας,
διὰ τὸ μεταβαλεῖν
ἐκ τοῦ σατυρικοῦ·

si donc la tragédie [sant
est maintenant dans-un-état-suffi-
par les formes
ou non,
et *si* cela est jugé en soi-même
ou par rapport aux spectateurs,
est une autre question.

§ 3. Ayant été donc
improvisée dès l'origine,
et elle (la tragédie) et la comédie,
et l'une *venant* de
ceux qui entonnent le dithyrambe,
l'autre *venant* de [liques,
ceux qui *entonnent* les *chants* phal-
qui subsistent encore aussi mainte- [nant
usités
dans beaucoup de villes,
la tragédie
grandit peu à peu,
les poëtes développant [dent,
tout-ce-qui d'elle (en elle) *était* évi-
et elle cessa ayant changé (de subir)
de nombreux changements,
après qu'elle eut la nature d'elle-même.
Et Eschyle le premier
et introduisit
la pluralité des acteurs
les faisant passer d'un à deux,
et amoindrit
les *parties* du chœur,
et arrangea
le rôle protagoniste; [trois *acteurs*
Sophocle d'autre part *introduisit*
et la peinture-de-la-scène. [*die*
Et en outre *la* grandeur *de la tragé-*
s'ennoblit tard [petites
sortant de (succédant à des) fables
et d'un style plaisant, [nue)
à cause de *le* avoir passé (d'être ve-
du *genre* satyrique;

τό τε μέτρον ἐκ τετραμέτρου ἰαμβεῖον ἐγένετο· τὸ μὲν γὰρ πρῶτον τετραμέτρῳ ἐχρῶντο διὰ τὸ σατυρικὴν καὶ ὀρχηστικωτέραν εἶναι τὴν ποίησιν. Λέξεως δὲ γενομένης, αὐτὴ ἡ φύσις τὸ οἰκεῖον μέτρον εὗρε· μάλιστα γὰρ λεκτικὸν τῶν μέτρων τὸ ἰαμβεῖόν ἐστιν· σημεῖον δὲ τούτου· πλεῖστα γὰρ ἰαμβεῖα λέγομεν ἐν τῇ διαλέκτῳ τῇ πρὸς ἀλλήλους, ἑξάμετρα δὲ ὀλιγάκις καὶ ἐκβαίνοντες τῆς λεκτικῆς ἁρμονίας[1]. Ἔτι δὲ ἐπεισοδίων πλήθη καὶ τὰ ἄλλα ὡς ἕκαστα κοσμηθῆναι λέγεται. Περὶ μὲν οὖν τούτων τοσαῦτα ἔστω ἡμῖν εἰρημένα· πολὺ γὰρ ἂν ἴσως ἔργον εἴη διεξιέναι καθ' ἕκαστον.

V. Ἡ δὲ κωμῳδία ἐστίν, ὥσπερ εἴπομεν, μίμησις φαυλοτέρων μέν, οὐ μέντοι κατὰ πᾶσαν κακίαν, ἀλλὰ τοῦ αἰσχροῦ [οὗ] ἐστι τὸ γελοῖον μόριον[2]. Τὸ γὰρ γελοῖόν ἐστιν ἁμάρτημά τι καὶ

Alors [aussi] le mètre ïambique remplaça le trochaïque. Car, d'abord on s'était servi du tétramètre trochaïque, plus convenable à la danse mimique des satyres [qu'on mettait en scène]. Mais quand le dialogue fut établi, la nature fit aussitôt trouver le mètre qui lui convenait. En effet, l'ïambe est de tous les mètres le plus approprié au dialogue, et la preuve c'est qu'on en fait beaucoup dans la conversation, tandis qu'on fait peu d'hexamètres, et seulement quand on sort du ton familier. Il y a, en outre, les épisodes plus ou moins nombreux, et les autres ornements dont on raconte l'invention (?). Mais nous en avons assez dit sur ce sujet; car il serait peut-être trop long de le développer en détail.

V. La comédie est, comme nous disions plus haut, l'imitation du mauvais, mais non du mauvais quel qu'il soit, puisque le ridicule n'en est qu'une partie. En effet, ce qui est ridicule, c'est une faute

τό τε μέτρον ἐγένετο
ἰαμβεῖον ἐκ τετραμέτρου·
τὸ μὲν γὰρ πρῶτον
ἐχρῶντο τετραμέτρῳ
διὰ τὸ
τὴν ποίησιν
εἶναι σατυρικὴν
καὶ ὀρχηστικωτέραν.
Λέξεως δὲ γενομένης,
ἡ φύσις αὐτὴ
εὗρε τὸ μέτρον οἰκεῖον·
τὸ γὰρ ἰαμβεῖόν ἐστι
τὸ μάλιστα λεκτικὸν
τῶν μέτρων·
σημεῖον δὲ τούτου·
λέγομεν γὰρ
ἰαμβεῖα πλεῖστα
ἐν τῇ διαλέκτῳ
τῇ πρὸς ἀλλήλους,
ὀλιγάκις δὲ ἑξάμετρα,
καὶ ἐκβαίνοντες
τῆς ἁρμονίας λεκτικῆς.
Ἔτι δὲ πλήθη ἐπεισοδίων
καὶ τὰ ἄλλα ὡς ἕκαστα
λέγεται κοσμηθῆναι.
Τοσαῦτα μὲν οὖν
ἔστω εἰρημένα ἡμῖν
περὶ τούτων·
διεξιέναι γὰρ κατὰ ἕκαστον
εἴη ἂν ἴσως
πολὺ ἔργον.

V. Ἡ δὲ κωμῳδία ἐστίν,
ὥσπερ εἴπομεν,
μίμησις φαυλοτέρων μέν,
οὐ μέντοι
κατὰ πᾶσαν κακίαν,
ἀλλὰ τοῦ αἰσχροῦ
οὗ τὸ γελοῖον ἐστι μόριον.
Τὸ γὰρ γελοῖον ἐστί
τι ἁμάρτημα

et le mètre devint
ïambique de tétramètre *qu'il était ;*
car d'une part d'abord
ils se servaient du tetramètre
à cause de ceci
la poésie
être satyrique
et plus faite-pour-la-danse.
Le parler d'autre part étant né (ayant
la nature elle-même [été introduit),
trouva le mètre convenable ;
car l'ïambe est
le plus approprié-au-parler
d'*entre* les mètres ;
et preuve de ceci :
c'-est-que nous disons
des ïambes très-nombreux
dans le langage [uns-des-autres,
celui *dont nous servons* à l'égard les
mais rarement des hexamètres,
et *encore* en sortant [parler.
de l'harmonie (du ton) propre-au-
Et en outre les nombres des épisodes
et les autres *détails* chacun-pris-à-
sont dits avoir été ornés. [part
Qu'autant *de choses* d'une part donc
aient été dites par nous
sur ces *questions ;*
car *les* parcourir une à une
serait peut-être
un grand travail.

V. D'autre part la comédie est,
comme nous *l'*avons dit,
imitation des choses plus mauvai-
non cependant [ses d'une part,
relativement à tout vice, [vais)
mais *imitation* du honteux (du mau-
dont le ridicule est une partie.
Car le ridicule est
une erreur

αἶσχος ἀνώδυνον καὶ οὐ φθαρτικόν, οἷον εὐθὺς τὸ γελοῖον πρόσωπον αἰσχρόν τι καὶ διεστραμμένον ἄνευ ὀδύνης.

d'Agathon : là en effet tout est inventé, les choses et les noms, et la pièce n'en est pas moins intéressante. Il ne faut donc pas chercher à rester toujours dans le cercle des traditions dont s'occupe [ordinairement] la tragédie; [bien plus,] cela serait ridicule; car les noms connus eux-mêmes ne sont connus que du petit nombre, ce qui n'empêche pas que l'intérêt ne soit pour tous.

Il suit évidemment de tout cela, que le poëte doit se montrer plutôt dans la composition de la fable que dans celle des vers, puisqu'il est poëte par l'imitation, et qu'il imite des actions. Aussi ne serait-il pas moins poëte si l'action était historique; car rien n'empêche que, parmi les faits réels, quelques-uns ne soient possibles et vraisemblables, en quoi ils appartiennent précisément au poëte.

§ 2. Parmi les fables et les actions simples, les moins bonnes sont les épisodiques. J'appelle épisodique la fable où les épisodes

Ἀγάθωνος·
τά τε γὰρ πράγματα
καὶ τὰ ὀνόματα
πεποιημένα ὁμοίως ἐν τούτῳ,
καὶ εὐφραίνει οὐδὲν ἧττον.
Ὥστε οὐκ εἶναι
ζητητέον πάντως
ἀντέχεσθαι τῶν μύθων
παραδεδομένων.
περὶ οὕς εἰσιν αἱ τραγῳδίαι.
Καὶ γὰρ γελοῖον
ζητεῖν τοῦτο,
ἐπεὶ καὶ τὰ γνώριμά
ἐστι γνώριμα ὀλίγοις,
ἀλλὰ ὅμως εὐφραίνει πάντας.
Δῆλον οὖν ἐκ τούτων
ὅτι δεῖ τὸν ποιητὴν εἶναι
μᾶλλον ποιητὴν τῶν μύθων
ἢ τῶν μέτρων,
ὅσῳ ἐστὶ ποιητὴς
κατὰ τὴν μίμησιν,
μιμεῖται δὲ τὰς πράξεις.
Καὶ ἄρα ἂν συμβῇ
ποιεῖν γενόμενα,
ἐστὶν οὐδὲν ἧττον ποιητής·
οὐδὲν γὰρ κωλύει
ἔνια τῶν γενομένων
εἶναι τοιαῦτα
οἷα εἰκὸς γενέσθαι ἄν
καὶ δυνατὰ γενέσθαι,
κατὰ ὃ ἐκεῖνός
ἐστι ποιητὴς αὐτῶν.
§ 2. Τῶν δὲ μύθων
καὶ πράξεων ἁπλῶν.
αἱ ἐπεισοδιώδεις
εἰσὶ χείρισται.
Λέγω δὲ ἐπεισοδιώδη
μῦθον
ἐν ᾧ οὔτε εἰκὸς
οὔτε ἀναγκαῖον

d'Agathon ;
car et les faits
et les noms [celle-ci,
ont été inventés également dans
et elle ne charme en rien moins.
De sorte que n'être pas (qu'il n'est
à-chercher absolument [pas
à s'attacher aux fables
qui ont été transmises, [gédies.
sur lesquelles sont (roulent) les tra-
Et en effet il *est* ridicule
de chercher cela,
attendu que même les *noms* connus
sont connus de peu d'*hommes*, [tous.
mais cependant ils *les* charment
Il est évident donc d'après ces
qu'il faut le poëte être [choses
plutôt faiseur de fables
que de mètres,
d'autant qu'il est poëte
en vertu de l'imitation,
et *qu'*il imite les actions.
Et certes s'il *lui* est arrivé [arrivés,
de faire (de composer sur) des *faits*
il n'est en rien moins poëte ;
car rien n'empêche
quelques-uns des *faits* arrivés
être tels [dû arriver
qu'il *est* vraisemblable *ceux-ci* avoir
et pouvant être arrivés,
en quoi celui-ci
est le poëte d'eux.
§ 2. Or des fables
et des actions simples
celles *qui sont* semées-d'-épisodes
sont les plus mauvaises.
Or j'appelle semée-d'-épisodes
une fable [ble
dans laquelle *il n'est* ni vraisembla-
ni nécessaire

μετ' ἄλληλα οὔτ' εἰκὸς οὔτ' ἀνάγκη εἶναι. Τοιαῦται δὲ ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς ὑποκριτάς[1]· ἀγωνίσματα γὰρ ποιοῦντες, καὶ παρὰ τὴν δύναμιν παρατείναντες μῦθον, πολλάκις διαστρέφειν ἀναγκάζονται τὸ ἐφεξῆς.

Ἐπεὶ δὲ οὐ μόνον τελείας ἐστὶ πράξεως ἡ μίμησις ἀλλὰ καὶ φοβερῶν καὶ ἐλεεινῶν, ταῦτα δὲ γίνεται καὶ μάλιστα,... καὶ μᾶλλον ὅταν γένηται παρὰ τὴν δόξαν[2], δι' ἄλληλα· τὸ γὰρ θαυμαστὸν οὕτως ἕξει μᾶλλον ἢ εἰ ἀπὸ τοῦ αὐτομάτου καὶ τῆς τύχης, ἐπεὶ καὶ τῶν ἀπὸ τύχης ταῦτα θαυμασιώτατα δοκεῖ, ὅσα ὥσπερ ἐπίτηδες φαίνεται γεγονέναι, οἷον ὡς ὁ ἀνδριὰς ὁ τοῦ Μίτυος ἐν Ἄργει ἀπέκτεινε τὸν αἴτιον τοῦ θανάτου τῷ Μίτυϊ, θεωροῦντι[3] ἐμπεσών· ἔοικε γὰρ τὰ τοιαῦτα οὐκ εἰκῇ γενέσθαι· ὥστε ἀνάγκη τοὺς τοιούτους εἶναι καλλίους μύθους.

n'ont entre eux aucun rapport vraisemblable ni nécessaire. Les mauvais poëtes en font de telles par leur faute, et les bons pour plaire aux acteurs. Travaillant pour le succès du jour, ils étendent l'action au delà de ce qu'elle comporte, et sont souvent forcés d'en rompre la continuité.

L'imitation ayant pour objet non-seulement une action complète, mais encore la pitié et la terreur, et celles-ci se produisant surtout quand les événements naissent l'un de l'autre, et cela sans être attendus...; car alors ils causent plus de surprise que s'ils venaient comme d'eux-mêmes et par hasard (les effets même du hasard paraissant plus merveilleux quand ils semblent prémédités, comme à Argos lorsque la statue de Mitys tomba sur le meurtrier de Mitys pendant qu'il la regardait, et l'écrasa; car de telles choses semblent n'être pas dues au hasard); d'où il résulte que les fables ainsi conçues seront plus belles [que les autres].

τὰ ἐπεισόδια
εἶναι μετὰ ἄλληλα.
Τοιαῦται δὲ ποιοῦνται
ὑπὸ μὲν τῶν φαύλων ποιητῶν
διὰ αὐτούς,
ὑπὸ δὲ τῶν ἀγαθῶν
διὰ τοὺς ὑποκριτάς·
ποιοῦντες γὰρ ἀγωνίσματα,
καὶ παρατείναντες μῦθον
παρὰ τὴν δύναμιν,
ἀναγκάζονται διαστρέφειν
τὸ ἐφεξῆς.

Ἐπεὶ δὲ ἡ μίμησίς ἐστι
οὐ μόνον πράξεως τελείας,
ἀλλὰ καὶ φοβερῶν
καὶ ἐλεεινῶν,
ταῦτα δὲ γίνεται
καὶ μάλιστα....
καὶ μᾶλλον ὅταν γένηται
παρὰ τὴν δόξαν,
διὰ ἄλληλα·
τὸ γὰρ θαυμαστὸν
ἕξει οὕτω μᾶλλον
ἢ εἰ ἀπὸ τοῦ αὐτομάτου
καὶ τῆς τύχης,
ἐπεὶ καὶ τῶν ἀπὸ τύχης
ταῦτα δοκεῖ
θαυμασιώτατα,
ὅσα φαίνεται γεγονέναι
ὥσπερ ἐπίτηδες,
οἷον ὡς ὁ ἀνδριὰς
ὁ τοῦ Μίτυος ἐν Ἄργει
ἀπέκτεινε τὸν αἴτιον
τοῦ θανάτου τῷ Μίτυϊ,
ἐμπεσὼν θεωροῦντι·
τὰ τοιαῦτα γὰρ ἔοικε
οὐ γενέσθαι εἰκῇ·
ὥστε ἀνάγκη
τοὺς μύθους τοιούτους
εἶναι καλλίους.

les épisodes
venir les uns après les autres.
Or de telles *actions* sont faites
par les mauvais poëtes d'une part
à cause d'eux-mêmes,
par les bons d'autre part
à cause des comédiens; [le-prix
car faisant des pièces-pour-disputer-
et ayant étendu la fable
au-delà de *son* essence, [térer)
ils sont forcés de contourner (d'al-
la suite *des faits*.

Or puisque l'imitation est [plète,
non-seulement d'une action com-
mais encore d'*événements* terribles
et pitoyables,
et *que* ces événements ont-lieu
et surtout....
et davantage lorsqu'ils arrivent
contre l'attente,
à cause les uns des autres;
car le merveilleux
sera ainsi (le sera) davantage
que *s'ils arrivaient* d'un mouve-
et du hasard, [ment-spontané,
attendu que même des *faits prove-*
ceux-là paraissent [*nant* du hasard
les plus merveilleux,
qui semblent être arrivés
comme à dessein,
par-exemple comme la statue
celle de Mitys à Argos
tua l'auteur
de la mort à (de) Mitys,
étant tombé sur *lui* regardant;
car les choses telles semblent
n'être pas arrivées au hasard;
de sorte que nécessité *est*
les fables telles
être plus belles.

X. Εἰσὶ δὲ τῶν μύθων οἱ μὲν ἁπλοῖ οἱ δὲ πεπλεγμένοι· καὶ γὰρ αἱ πράξεις, ὧν μιμήσεις οἱ μῦθοί εἰσιν, ὑπάρχουσιν εὐθὺς οὖσαι τοιαῦται. Λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν, ἧς γινομένης, ὥσπερ ὥρισται, συνεχοῦς καὶ μιᾶς ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνεται· πεπλεγμένην δέ, ἐξ ἧς μετ' ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ ἀμφοῖν ἡ μετάβασίς ἐστιν. Ταῦτα δὲ δεῖ γίνεσθαι ἐξ αὐτῆς τῆς συστάσεως τοῦ μύθου, ὥστε ἐκ τῶν προγεγενημένων συμβαίνειν ἢ ἐξ ἀνάγκης ἢ κατὰ τὸ εἰκὸς γίνεσθαι ταῦτα· διαφέρει γὰρ πολὺ τὸ γίνεσθαι τάδε διὰ τάδε ἢ μετὰ τάδε.

XI. Ἔστι δὲ περιπέτεια μὲν ἡ εἰς τὸ ἐναντίον τῶν πραττομένων μεταβολή, καθάπερ εἴρηται· καὶ τοῦτο δέ, ὥσπερ λέγο-

X. Les fables sont simples ou implexes; car les actions dont les fables sont une imitation offrent évidemment les mêmes différences. Je nomme action simple celle qui est une et continue, selon le sens qu'on a dit plus haut, et atteint son dénoûment sans péripétie ni reconnaissance; action implexe, celle dont le dénoûment se produit avec reconnaissance ou avec péripétie ou avec l'une et l'autre à la fois. Et cela doit provenir de la constitution même du drame et comme effet nécessaire ou vraisemblable de ce qui précède; car autre chose est ce qui précède un effet, autre chose ce qui le produit.

XI. La péripétie est une révolution des événements, comme nous l'avons dit, et une révolution vraisemblable ou nécessaire,

X. Οἱ μὲν δὲ τῶν μύθων
εἰσὶν ἁπλοῖ,
οἱ δὲ πεπλεγμένοι·
καὶ γὰρ αἱ πράξεις
ὧν οἱ μῦθοί εἰσι
μιμήσεις,
ὑπάρχουσιν εὐθὺς
οὖσαι τοιαῦται.
Λέγω δὲ πρᾶξιν
ἁπλῆν μέν,
ἧς γινομένης
συνεχοῦς καὶ μιᾶς,
ὥσπερ ὥρισται,
ἡ μετάβασις γίνεται
ἄνευ περιπετείας
ἢ ἀγνωρισμοῦ·
πεπλεγμένην δέ,
ἐξ ἧς ἡ μετάβασίς ἐστι
μετὰ ἀγνωρισμοῦ
ἢ περιπετείας
ἢ ἀμφοῖν.
Δεῖ δὲ ταῦτα γίνεσθαι
ἐκ τῆς συστάσεως αὐτῆς
τοῦ μύθου,
ὥστε συμβαίνειν
ταῦτα γίνεσθαι
ἐκ τῶν προγεγενημένων
ἢ ἐξ ἀνάγκης
ἢ κατὰ τὸ εἰκός·
τὸ γὰρ
τάδε γίνεσθαι διὰ τάδε
ἢ μετὰ τάδε
διαφέρει πολύ.

X. Or les unes parmi les fables
sont simples,
les autres implexes;
en effet les actions
dont les fables sont
des imitations
s'offrent d'abord
étant telles.
Or j'appelle une action
simple d'une part,
celle de laquelle étant
continue et une,
comme il a été défini,
l'évolution (le dénoûment) a-lieu
sans péripétie
ou reconnaissance;
j'*appelle* implexe d'autre part,
celle de laquelle l'évolution se-fait
avec reconnaissance
ou péripétie
ou *avec* toutes-les-deux.
Or il faut ces choses venir
de la constitution même
de la fable,
de manière qu'il arrive
celles-ci venir
des *faits* précédents
ou de nécessité
ou suivant la vraisemblance;
car ceci [de celle
à savoir ces choses arriver à cause
ou après celles-là
diffère beaucoup.

XI. Περιπετεία δὲ μέν
ἐστι μεταβολὴ τῶν πραττομένων
εἰς τὸ ἐναντίον,
καθάπερ εἴρηται·
καὶ τοῦτο δέ,
ὥσπερ λέγομεν,
κατὰ τὸ εἰκὸς

XI. Or la péripétie d'une part
est un changement des faits
en le contraire,
comme il a été dit;
et ceci d'autre part,
comme nous *le* disons,
selon le vraisemblable

μεν, κατὰ τὸ εἰκὸς ἢ ἀναγκαῖον, ὥσπερ ἐν τῷ Οἰδίποδι ἐλθὼν ὡς εὐφρανῶν τὸ Οἰδίπουν καὶ ἀπαλλάξων τοῦ πρὸς τὴν μητέρα φόβου, δηλώσας ὃς ἦν, τοὐναντίον ἐποίησεν· καὶ ἐν τῷ Λυγκεῖ[1] ὁ μὲν ἀγόμενος ὡς ἀποθανούμενος, ὁ δὲ Δαναὸς ἀκολουθῶν ὡς ἀποκτενῶν· τὸν μὲν συνέβη ἐκ τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ σωθῆναι.

Ἀναγνώρισις δ' ἐστίν, ὥσπερ καὶ τοὔνομα σημαίνει, ἐξ ἀγνοίας εἰς γνῶσιν μεταβολὴ ἢ εἰς φιλίαν ἢ ἔχθραν τῶν πρὸς εὐτυχίαν ἢ δυστυχίαν ὡρισμένων. Καλλίστη δὲ ἀναγνώρισις, ὅταν ἅμα περιπέτειαι γίνωνται, οἷον ἔχει ἡ ἐν τῷ Οἰδίποδι. Εἰσὶ μὲν οὖν καὶ ἄλλαι ἀναγνωρίσεις· καὶ γὰρ πρὸς ἄψυχα καὶ τὰ τυχόντα ἔστιν ὅτε, ὥσπερ εἴρηται, συμβαίνει· καὶ εἰ πέπραγέ τις ἢ μὴ πέπραγεν, ἔστιν ἀναγνωρίσαι·

ainsi qu'il est convenu. Par exemple, dans l'*Œdipe* [*roi* de Sophocle], celui qui vient croyant lui faire plaisir et le rassurer à l'égard de sa mère, produit l'effet contraire en lui apprenant qui il est ; dans *le Lyncée* [de Théodecte], un personnage est conduit à la mort, et Danaüs le suit pour le frapper ; mais, quand tout se décide, c'est Danaüs qui meurt à sa place.

La reconnaissance, comme son nom l'indique, est un passage de l'ignorance à la connaissance, qui produit l'amitié ou la haine entre les personnages destinés au bonheur ou au malheur. La plus belle reconnaissance a lieu, lorqu'il y a en même temps péripétie, comme dans l'*Œdipe* [*roi* de Sophocle]. Il y a encore d'autres reconnaissances : il y en a pour les objets inanimés, pour les premières choses venues ; on peut aussi reconnaître qu'un tel a fait ou non une action.

ἢ τὸ ἀναγκαῖον,
ὥσπερ ἐν τῷ Οἰδίποδι
ἐλθὼν ὡς εὐφρανῶν
τὸν Οἰδίπουν,
καὶ ἀπαλλάξων τοῦ φόβου
πρὸς τὴν μητέρα,
δηλώσας ὃς ἦν,
ἐποίησε τὸ ἐναντίον·
καὶ ἐν τῷ Λυγκεῖ
ὁ μὲν ἀγόμενος
ὡς ἀποθανούμενος,
ὁ δὲ Δαναὸς ἀκολουθῶν
ὡς ἀποκτενῶν·
συνέβη τὸν μὲν ἀποθανεῖν
ἐκ τῶν πεπραγμένων,
τὸν δὲ σωθῆναι.

Ἀγνώρισις δέ ἐστιν,
ὥσπερ καὶ τὸ ὄνομα
σημαίνει,
μεταβολὴ ἐξ ἀγνοίας
εἰς γνῶσιν
ἢ εἰς φιλίαν ἢ εἰς ἔχθραν
τῶν ὡρισμένων
πρὸς εὐτυχίαν ἢ δυστυχίαν.
Ἀναγνώρισις δὲ καλλίστη,
ὅταν περιπετείαι
γίνωνται ἅμα,
οἷον ἡ ἐν τῷ Οἰδίποδι
ἔχει.
Καὶ ἄλλαι ἀγνωρίσεις
εἰσὶ μὲν οὖν·
καὶ γὰρ συμβαίνει
ἔστιν ὅτε
πρὸς ἄψυχα
καὶ τὰ
τυχόντα,
ὥσπερ εἴρηται·
καὶ ἔστιν ἀναγνωρίσαι
εἴ τις πέπραγε
ἢ μὴ πέπραγε·

ou le nécessaire,
comme dans Œdipe [vant réjouir
un messager étant venu comme de-
Œdipe,
et devant *le* délivrer de la crainte
à l'égard de *sa* mère, [était,
ayant fait-connaître qui il (Œdipe)
a produit le contraire;
et dans Lyncée
l'un étant mené
comme devant mourir,
l'autre, Danaüs, *le* suivant
comme devant *le* tuer;
il est arrivé celui-ci être mort
par suite des *faits* accomplis,
celui-là avoir été sauvé.

La reconnaissance d'autre part
comme même le nom [est,
le signifie,
le passage de l'ignorance
à la connaissance
ou pour l'amitié ou pour l'inimitié
des *personnages* désignés (destinés)
pour le bonheur ou le malheur.
Mais la reconnaissance la plus belle
lorsque les péripéties [*est*,
ont-lieu en-même-temps,
comme celle dans Œdipe
est.
Encore d'autres reconnaissances
sont d'une part donc;
car elle (la reconnaissance)
arrive quelquefois
à propos d'*objets* inanimés
et des *objets* [venus),
s'étant rencontrés (les premiers
comme *cela* a été dit;
et il est-possible d'avoir reconnu
si quelqu'un a agi
ou n'a pas agi;

ἀλλ' ἡ μάλιστα τοῦ μύθου καὶ ἡ μάλιστα τῆς πράξεως ἡ εἰρημένη ἐστίν. Ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει ἢ φόβον, οἵων πράξεων ἡ τραγῳδία μίμησις ὑπόκειται. Ἔτι δὲ καὶ τὸ ἀτυχεῖν καὶ τὸ εὐτυχεῖν ἐπὶ τῶν τοιούτων συμβήσεται. Ἐπεὶ δὴ ἡ ἀναγνώρισις τινῶν ἐστὶν ἀναγνώρισις, αἱ μὲν θατέρου πρὸς τὸν ἕτερον μόνον, ὅταν ᾖ δῆλος ἕτερος τίς ἐστιν, ὁτὲ δ' ἀμφοτέρους δεῖ ἀναγνωρίσαι, οἷον ἡ μὲν Ἰφιγένεια τῷ Ὀρέστῃ ἀνεγνωρίσθη ἐκ τῆς πέμψεως[1] τῆς ἐπιστολῆς, ἐκείνῳ δὲ πρὸς τὴν Ἰφιγένειαν ἄλλης ἔδει ἀναγνωρίσεως.

Δύο μὲν οὖν τοῦ μύθου μέρη περὶ ταῦτ' ἐστί, περιπέτεια καὶ ἀναγνώρισις, τρίτον δὲ πάθος. Τούτων δὲ περιπέτεια μὲν καὶ ἀναγνώρισις εἴρηται, πάθος δ' ἐστὶ πρᾶξις φθαρτικὴ ἢ ὀδυνηρά,

Mais la reconnaissance qui tient le plus à la fable et à l'action est celle que nous avons dite : car, jointe avec la péripétie, elle produira la pitié ou la terreur, ce qui est le propre effet de l'imitation tragique; d'ailleurs elle amènera aussi le malheur ou le bonheur des personnages. Puisque la reconnaissance suppose une personne reconnue, tantôt elle sera simple, quand l'une des deux personnes sera déjà connue de l'autre, tantôt elle sera réciproque; ainsi, [dans Euripide,] Iphigénie est reconnue d'Oreste à l'occasion de la lettre qu'elle envoie, mais d'Oreste à Iphigénie il a fallu encore une autre reconnaissance.

Voilà donc, à cet égard, deux parties de la fable, la péripétie et la reconnaissance. Une troisième, c'est l'événement tragique. Les deux premières sont définies; quant à l'événement tragique, c'est une action destructive et douloureuse,

ἀλλὰ ἡ μάλιστα
τοῦ μύθου
καὶ ἡ μάλιστα τῆς πράξεως
ἐστὶν ἡ εἰρημένη.
Ἡ γὰρ ἀναγνώρισις
καὶ περιπετεία τοιαύτη
ἔξει ἢ ἔλεον ἢ φόβον,
οἵων πράξεων
ἡ τραγῳδία ὑποκεῖται
μίμησις.
Ἔτι δὲ καὶ τὸ ἀτυχεῖν
καὶ τὸ εὐτυχεῖν συμβήσεται
ἐπὶ τῶν τοιούτων.
Ἐπεὶ δὴ ἡ ἀναγνώρισίς ἐστιν
ἀναγνώρισις τινῶν,
αἱ μὲν
θατέρου
πρὸς τὸν ἕτερον μόνον,
ὅταν ἕτερος ᾖ δῆλος
τίς ἐστιν,
ὁτὲ δὲ δεῖ
ἀμφοτέρους ἀναγνωρίσαι,
οἷον ἡ Ἰφιγένεια μὲν
ἀνεγνωρίσθη τῷ Ὀρέστῃ
ἐκ τῆς πέμψεως
τῆς ἐπιστολῆς,
ἔδει δὲ ἐκείνῳ
ἄλλης ἀναγνωρίσεως
πρὸς τὴν Ἰφιγένειαν.
Δύο μὲν οὖν μέρη
τοῦ μύθου
ἐστὶ περὶ ταῦτα,
περιπέτεια καὶ ἀγνώρισις,
τρίτον δὲ
πάθος.
Τούτων δὲ
περιπέτεια μὲν καὶ ἀναγνώρισις
εἴρηται,
πάθος δέ ἐστι
πρᾶξις φθαρτικὴ

mais celle principalement
de la fable (qui tient à la fable)
et celle principalement de l'action
est celle qui a été dite.
Car la reconnaissance
et la péripétie telle (telles)
aura (produira) ou pitié ou terreur,
desquels effets
la tragédie est supposée *être*
l'imitation.
Et en outre et le être-malheureux
et le être-heureux arrivera
à propos de choses telles.
Puis donc que la reconnaissance est
la reconnaissance de certains *per-*
les unes [*sonnages*,
de l'un-des-deux *personnages*
par rapport à l'autre seul,
lorsque l'autre est manifeste
qui il est,
quelquefois d'autre part il faut
tous-deux avoir reconnu,
comme Iphigénie d'une part
fut reconnue à (d') Oreste
par suite de l'envoi
de la lettre,
d'autre part il fallait à celui-ci
une autre reconnaissance
par rapport à Iphigénie.
D'une part donc deux parties
de la fable
sont (roulent) autour de ces choses,
à savoir la péripétie et la recon-
en-troisième-lieu [naissance,
l'événement-tragique.
Or de ces *parties* [naissance
la péripétie d'une part et la recon-
a été dite (ont été définies), [est
d'autre part l'événement-tragique
une action destructive

οἷον οἵ τε ἐν τῷ φανερῷ θάνατοι καὶ αἱ περιωδυνίαι καὶ τρώσεις καὶ ὅσα τοιαῦτα.

XII. Μέρη δὲ τραγῳδίας, οἷς μὲν ὡς εἴδεσι δεῖ χρῆσθαι, πρότερον εἴπομεν· κατὰ δὲ τὸ ποσὸν καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, τάδε ἐστί· πρόλογος, ἐπεισόδιον, ἔξοδος, χορικόν, καὶ τούτου τὸ μὲν πάροδος τὸ δὲ στάσιμον· κοινὰ μὲν ἁπάντων ταῦτα· ἴδια δὲ τὰ ἀπὸ τῆς σκηνῆς καὶ κόμμοι.

Ἔστι δὲ πρόλογος μὲν μέρος ὅλον τραγῳδίας τὸ πρὸ χοροῦ παρόδου, ἐπεισόδιον δὲ μέρος ὅλον τραγῳδίας τὸ μεταξὺ ὅλων χορικῶν μελῶν, ἔξοδος δὲ μέρος ὅλον τραγῳδίας μεθ' ὃ οὐκ ἔστι χοροῦ μέλος· χορικοῦ δὲ πάροδος μὲν ἡ πρώτη λέξις ὅλου χοροῦ, στάσιμον δὲ μέλος χοροῦ

comme les morts sur la scène, des tourments cruels, des blessures et les autres faits analogues.

XII. Les parties de la tragédie qui tiennent à sa forme, sont exposées plus haut. Celles qui se rapportent à son étendue et à ses divisions sont : le prologue, l'épisode, l'exode et le chœur, qui se divise lui-même en entrée et station. Ces éléments sont communs à toutes les tragédies. Les morceaux (*commoi*) que le chœur chante avec les acteurs ne se trouvent que dans quelques-unes.

Le *prologue* est la partie du drame qui précède l'entrée du chœur; l'*épisode* est tout ce que renferme l'intervalle de deux chœurs; l'*exode* est toute la partie après laquelle il n'y a pas de chœur. L'*entrée* du chœur, ce sont les premiers vers qu'il prononce d'ensemble; la *station* est la partie des chants choriques

ἢ ὀδυνηρά,
οἷον οἵ τε θάνατοι
ἐν τῷ φανερῷ
καὶ αἱ περιωδυνίαι
καὶ τρώσεις
καὶ ὅσα τοιαῦτα,

XII. Εἴπομεν δὲ πρότερον
μέρη τραγῳδίας,
οἷς μὲν δεῖ χρῆσθαι
ὡς εἴδεσι·
κατὰ δὲ τὸ πόσον
καὶ εἰς ἃ κεχωρισμένα
διαιρεῖται,
τάδε ἐστί·
πρόλογος, ἐπεισόδιον,
ἔξοδος, τὸ χορικόν,
καὶ τὸ μὲν πάροδος
τὸ δὲ στάσιμον τούτου·
ταῦτα μὲν κοινὰ
ἁπάντων·
τὰ δὲ
ἀπὸ σκηνῆς
καὶ κόμμοι
ἴδια.

Πρόλογος δέ ἐστι
μέρος μὲν ὅλον τραγῳδίας
τὸ πρὸ παρόδου χοροῦ,
ἐπεισόδιον δὲ
μέρος ὅλον τραγῳδίας
τὸ μεταξὺ
μελῶν χορικῶν ὅλων,
ἔξοδος δὲ
μέρος ὅλον τραγῳδίας
μετὰ ὃ μέλος χοροῦ
οὐκ ἔστι·
πάροδος δὲ χορικοῦ μὲν
ἡ πρώτη λέξις
χοροῦ ὅλου,
στάσιμον δὲ
μέλος χοροῦ,

ou douloureuse,
comme et les morts
en évidence,
et les vives-douleurs,
et les blessures
et toutes les choses qui *sont* telles.

XII. Or nous avons dit précédemment
les parties de la tragédie, [ment
desquelles d'une part il faut se servir
comme de formes ;
mais relativement à la quantité
et *aux parties* en lesquelles *parties*
elle se divise, [distinctes
ces choses sont (voici ce qui est) :
le prologue, l'épisode,
l'exode, la *partie* chorique,
et d'un côté l'entrée [chœur);
de l'autre la station de celui-ci (du
ces *divisions* d'une part *sont* com-
à toutes *les pièces*; [munes
d'autre part les *chants*
venant de la scène
et les commoi (chants plaintifs)
sont particuliers *à quelques-unes*.

Or le prologue est [tragédie
d'une part une partie complète de la
celle avant l'entrée du chœur,
l'épisode d'un autre côté [gédie
est une partie complète de la tra-
celle *qui est* entre
les chants choriques complets,
l'exode d'un autre côté [die,
est une partie complète de la tragé-
après laquelle chant du chœur
n'est pas; [d'une part
d'un autre côté l'entrée du chorique
est la première parole
du chœur complet,
et la station
est le chant du chœur,

τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου, κόμμος δὲ θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς.

Μέρη δὲ τραγῳδίας, οἷς μὲν δεῖ χρῆσθαι, πρότερον εἴπαμεν· κατὰ δὲ τὸ ποσὸν καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, ταῦτ' ἐστίν.

XIII. Ὧν δὲ δεῖ στοχάζεσθαι καὶ ἃ δεῖ εὐλαβεῖσθαι συνίσταντας τοὺς μύθους, καὶ πόθεν ἔσται τὸ τῆς τραγῳδίας ἔργον, ἑφεξῆς ἂν εἴη λεκτέον τοῖς νῦν εἰρημένοις.

Ἐπειδὴ οὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίστης τραγῳδίας μὴ ἁπλῆν ἀλλὰ πεπλεγμένην, καὶ ταύτην φοβερῶν καὶ ἐλεεινῶν εἶναι μιμητικήν (τοῦτο γὰρ ἴδιον τῆς τοιαύτης μιμήσεως ἐστίν), πρῶτον μὲν δῆλον ὅτι οὔτε τοὺς ἐπιεικεῖς ἄνδρας δεῖ μεταβάλλοντας φαίνεσθαι ἐξ εὐτυχίας εἰς δυστυχίαν (οὐ γὰρ φοβερὸν οὐδὲ ἐλεεινὸν τοῦτο, ἀλλὰ μιαρόν ἐστιν), οὔτε τοὺς μοχθηροὺς ἐξ ἀτυχίας εἰς εὐτυχίαν (ἀτραγῳδότατον

qui ne renferme ni anapeste ni trochée. Le *commos* est une complainte commune au chœur et aux acteurs [c'est-à-dire chantée à la fois sur la scène et sur l'orchestre].

Les parties qui constituent la forme (?) d'une tragédie ont été exposées plus haut; telles sont celles qui en constituent l'étendue et la division.

XIII. Après ce que nous venons de dire, il convient d'exposer à quoi l'on doit tendre et ce qu'on doit éviter en composant les fables, et comment on obtiendra l'effet tragique.

Puisque la tragédie par excellence doit être implexe et non simple, et imiter le terrible et le pitoyable, qui sont l'objet propre de ce genre d'imitation, il est clair d'abord qu'il ne faut pas y faire passer les honnêtes gens du bonheur au malheur, ce qui n'est ni terrible ni touchant, mais odieux; ni les méchants du malheur au bonheur, rien ne pouvant

τὸ ἄνευ ἀναπαίστου
καὶ τροχαίου,
κόμμος δὲ θρῆνος
κοινὸς
χοροῦ καὶ ἀπὸ σκηνῆς.
Εἴπαμεν δὲ πρότερον
μέρη τραγῳδίας,
οἷς μὲν δεῖ χρῆσθαι·
κατὰ δὲ τὸ πόσον
καὶ εἰς ἃ κεχωρισμένα
διαιρεῖται,
ταῦτά ἐστιν.
XIII. Εἴη δὲ ἂν λεκτέον
ἐφεξῆς τοῖς εἰρημένοις νῦν
ὧν δεῖ
συνίσταντας τοὺς μύθους
στοχάζεσθαι
καὶ ἃ δεῖ εὐλαβεῖσθαι,
καὶ πόθεν ἔσται
τὸ ἔργον τῆς τραγῳδίας.
Ἐπειδὴ οὖν δεῖ
τὴν σύνθεσιν
τῆς καλλίστης τραγῳδίας
εἶναι μὴ ἁπλῆν
ἀλλὰ πεπλεγμένην,
καὶ ταύτην εἶναι μιμητικὴν
φοβερῶν καὶ ἐλεεινῶν
(τοῦτο γάρ ἐστιν ἴδιον
τῆς μιμήσεως τοιαύτης),
πρῶτον μὲν δῆλον
ὅτι δεῖ
οὔτε τοὺς ἐπιεικεῖς ἄνδρας
φαίνεσθαι μεταβάλλοντας
ἐξ εὐτυχίας εἰς δυστυχίαν
(τοῦτο γάρ ἐστιν
οὐ φοβερὸν οὐδὲ ἐλεεινόν,
ἀλλὰ μιαρόν),
οὔτε τοὺς μοχθηροὺς
ἐξ ἀτυχίας εἰς δυστυχίαν
(τοῦτο γάρ ἐστι

celui sans anapeste
et *sans* trochée,
et le commos une lamentation
commune [acteurs.
du chœur et venant de la scène (des
Or nous avons dit précédemment
les parties de la tragédie,
desquelles d'une part il faut user;
mais relativement à la quantité
et aux parties en lesquelles *parties*
elle se divise, [distinctes
ces choses sont (voilà ce qu'il y a à
XIII. Or il serait à-dire [dire).
à la suite aux (des) choses dites main-
à quoi il faut [tenant
ceux composant les fables
viser
et les choses qu'il faut éviter,
et d'où sera
l'œuvre de la tragédie.
Puisque donc il faut
la constitution
de la plus belle tragédie
être non simple
mais implexe, [tive
et celle-ci (la tragédie) être imita-
de *faits* terribles et pitoyables
(car ceci est le propre
de l'imitation telle),
d'abord d'une part *il est* évident
qu'il faut
ni les honnêtes gens
être vus passant
du bonheur au malheur
(car cela est
ni terrible ni pitoyable,
mais criminel),
ni les méchants *être vus passant*
du malheur au bonheur
(car cette *situation* est

γὰρ τοῦτ' ἐστὶ πάντων)· οὐδὲν γὰρ ἔχει ὧν δεῖ· οὔτε γὰρ φιλάνθρωπον οὔτε ἐλεεινὸν οὔτε φοβερόν ἐστιν)· οὐδ' αὖ τὸν σφόδρα πονηρὸν ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταπίπτειν· τὸ μὲν γὰρ φιλάνθρωπον ἔχοι ἂν ἡ τοιαύτη σύστασις, ἀλλ' οὔτε ἔλεον οὔτε φόβον· ὁ μὲν γὰρ περὶ τὸν ἀνάξιόν ἐστι δυστυχοῦντα, ὁ δὲ περὶ τὸν ὅμοιον· ἔλεος μὲν περὶ τὸν ἀνάξιον, φόβος δὲ περὶ τὸν ὅμοιον, ὥστε οὔτε ἐλεεινὸν οὔτε φοβερὸν ἔσται τὸ συμβαῖνον. Ὁ μεταξὺ ἄρα τούτων λοιπός· ἔστι δὲ τοιοῦτος ὁ μήτε ἀρετῇ διαφέρων καὶ δικαιοσύνῃ, μήτε διὰ κακίαν καὶ μοχθηρίαν μεταβάλλων εἰς τὴν δυστυχίαν, ἀλλὰ δι' ἁμαρτίαν τινά, τῶν ἐν μεγάλῃ δόξῃ ὄντων καὶ εὐτυχίᾳ, οἷον Οἰδίπους καὶ Θυέστης καί οἱ ἐκ τῶν τοιούτων γενῶν ἐπιφανεῖς ἄνδρες.

Ἀνάγκη ἄρα τὸν καλῶς ἔχοντα μῦθον ἁπλοῦν[1] εἶναι μᾶλλον

être moins tragique, ni moins convenable, car on n'exciterait ainsi ni sentiment d'humanité, ni pitié, ni terreur. Il ne faut pas non plus qu'un homme très-méchant tombe du bonheur dans le malheur; une telle composition exciterait quelque sentiment d'humanité, mais non pas la pitié ni la terreur : car l'une est produite par le malheur de l'innocent, l'autre par celui de notre semblable; la pitié naît du malheur non mérité, la terreur du malheur d'un homme qui nous ressemble; aussi de tels événements ne produiraient-ils ni l'une ni l'autre. Il reste à prendre le milieu, c'est-à-dire que le personnage, choisi parmi les heureux et les illustres, ne soit ni trop vertueux, ni trop juste, et qu'il devienne malheureux, non à cause d'un crime et d'une méchanceté noire, mais à cause de quelque faute, comme Œdipe, Thyeste, et les autres grands personnages de familles semblables.

Il faut donc qu'une bonne fable soit simple plutôt que double,

ἀτραγῳδότατον πάντων)·
ἔχει γὰρ οὐδὲν
ὧν δεῖ·
ἔστι γὰρ οὔτε φιλάνθρωπον
οὔτε ἐλεεινὸν οὔτε φοβερόν)·
οὐδὲ αὖ
τὸν σφόδρα πονηρὸν
μεταπίπτειν ἐξ εὐτυχίας
εἰς δυστυχίαν·
τοιαύτη γὰρ σύστασις
ἔχοι ἂν τὸ μὲν φιλάνθρωπον,
ἀλλὰ οὔτε ἔλεον
οὔτε φόβον·
ὁ μὲν γάρ
ἐστι περὶ
τὸν δυστυχοῦντα ἀνάξιον,
ὁ δὲ περὶ
τὸν ὅμοιον·
ὥστε τὸ συμβαῖνον ἔσται
οὔτε ἐλεεινὸν οὔτε φοβερόν.
Ὁ μεταξὺ τούτων
ἄρα λοιπός·
τοιοῦτος δέ ἐστιν
ὁ διαφέρων
μήτε ἀρετῇ καὶ δικαιοσύνῃ,
μήτε μεταβάλλων
εἰς τὴν δυστυχίαν
διὰ κακίαν καὶ μοχθηρίαν,
ἀλλὰ διά τινα ἁμαρτίαν,
τῶν ὄντων
ἐν μεγάλῃ δόξῃ
καὶ εὐτυχίᾳ,
οἷον Οἰδίπους καὶ Θυέστης
καὶ οἱ ἄνδρες ἐπιφανεῖς
ἐκ τῶν γενῶν τοιούτων.
Ἀνάγκη ἄρα
τὸν μῦθον ἔχοντα καλῶς
εἶναι ἁπλοῦν
μᾶλλον ἢ διπλοῦν,
ὥσπερ τινές φασιν,

la moins tragique de toutes);
car elle n'a rien
des choses qu'il faut : [manité
car elle n'est ni intéressant-l'-hu-
ni pitoyable ni terrible) ;
ni d'autre part *il ne faut*
l'*homme* tout à fait méchant
tomber du bonheur
dans le malheur ;
car une telle composition [part,
aurait (exciterait) l'humanité d'une
mais ni pitié
ni terreur :
car l'une (la pitié)
est autour de (s'attache à) [tant-pas,
celui qui est-malheureux ne-le-méri-
l'autre (la terreur) autour de
celui *qui est notre* semblable ;
de sorte que l'événement *ne* sera
ni pitoyable ni terrible.
L'homme *qui est* entre ceux-ci
est donc restant :
or l'*homme* tel est
celui *ne* se distinguant
ni par la vertu ni par la justice,
ni ne passant
dans le malheur |perversité,
à cause de *sa* méchanceté et de *sa*
mais à cause de quelque faute,
parmi ceux qui sont
dans une grande gloire
et un *grand* bonheur,
comme Œdipe et Thyeste
et les hommes illustres
de familles telles.
Nécessité *est* donc
la fable qui est bien
être simple
plutôt que double,
comme quelques-uns *le* prétendent,

ἢ διπλοῦν, ὥσπερ τινές φασιν, καὶ μεταβάλλειν οὐκ εἰς εὐτυχίαν ἐκ δυστυχίας, ἀλλὰ τοὐναντίον ἐξ εὐτυχίας εἰς δυστυχίαν, μὴ διὰ μοχθηρίαν ἀλλὰ δι' ἁμαρτίαν μεγάλην, ἢ οἵου εἴρηται, ἢ βελτίονος μᾶλλον ἢ χείρονος. Σημεῖον δὲ καὶ τὸ γιγνόμενον· πρὸ τοῦ μὲν γὰρ οἱ ποιηταὶ τοὺς τυχόντας μύθους ἀπηρίθμουν, νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται, οἷον περὶ Ἀλκμαίωνα καὶ Οἰδίπουν καὶ Ὀρέστην καὶ Μελέαγρον καὶ Θυέστην καὶ Τήλεφον, καὶ ὅσοις ἄλλοις συμβέβηκεν ἢ παθεῖν δεινὰ ἢ ποιῆσαι.

Ἡ μὲν οὖν κατὰ τὴν τέχνην καλλίστη τραγῳδία ἐκ ταύτης τῆς συστάσεως ἐστίν. Διὸ καὶ οἱ Εὐριπίδῃ ἐγκαλοῦντες τὸ αὐτὸ ἁμαρτάνουσιν, ὅτι τοῦτο δρᾷ ἐν ταῖς τραγῳδίαις καὶ πολλαὶ αὐτοῦ εἰς δυστυχίαν τελευτῶσιν. Τοῦτο γάρ ἐστιν, ὥσπερ εἴρηται, ὀρθόν. Σημεῖον δὲ μέγιστον· ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων τραγι-

comme veulent quelques-uns; que le changement ait lieu non du malheur au bonheur, mais bien du bonheur au malheur, et cela non par l'effet d'une nature perverse, mais par quelque grande faute d'un personnage ou tel que nous avons dit, ou plutôt meilleur que plus méchant. L'expérience même l'a prouvé. Autrefois les poëtes tragiques racontaient les premières fables venues; aujourd'hui les meilleures tragédies roulent sur l'histoire d'un petit nombre de familles : par exemple, sur Alcméon, Œdipe, Oreste, Méléagre, Thyeste, Télèphe et les autres personnages qui ont fait ou souffert des choses terribles.

Telle sera donc, selon les règles de l'art, la composition d'une bonne tragédie. Aussi l'on a tort de faire précisément un reproche à Euripide de ce que beaucoup de ses tragédies aboutissent au malheur; en effet, cela est convenable, ainsi que nous l'avons dit; et la plus grande preuve, c'est que, sur la scène et dans les concours, ces sortes de pièces

καὶ μεταβάλλειν
οὐκ ἐκ δυστυχίας εἰς εὐτυχίαν,
ἀλλὰ τὸ ἐναντίον
ἐξ εὐτυχίας εἰς δυστυχίαν,
μὴ διὰ μοχθηρίαν,
ἀλλὰ διὰ μεγάλην ἁμαρτίαν,
ἢ οἵου εἴρηται,
ἢ βελτίονος μᾶλλον ἢ χείρονος.
Τὸ δὲ γιγνόμενον
καὶ σημεῖον·
οἱ μὲν γὰρ ποιηταὶ
ἀπηριθμοῦν πρὸ τοῦ
τοὺς μύθους τυχόντας,
νῦν δὲ αἱ κάλλισται τραγῳδίαι
συντίθενται
περὶ ὀλίγας οἰκίας,
οἷον περὶ Ἀλκμαίωνα
καὶ Οἰδίπουν καὶ Ὀρέστην
καὶ Μελέαγρον καὶ Θυέστην
καὶ Τήλεφον,
καὶ ὅσοις ἄλλοις συμβέβηκεν
ἢ παθεῖν ἢ ποιῆσαι
δεινά.
Ἡ μὲν οὖν τραγῳδία
καλλίστη κατὰ τὴν τέχνην
ἐστὶν
ἐκ ταύτης τῆς συστάσεως.
Διὸ καὶ οἱ ἐγκαλοῦντες
Εὐριπίδῃ τὸ αὐτό,
ὅτι ὁρᾷ τοῦτο
ἐν ταῖς τραγῳδίαις
καὶ πολλαὶ αὐτοῦ
τελευτῶσιν εἰς
δυστυχίαν,
ἁμαρτάνουσιν.
Τοῦτο γάρ ἐστιν ὀρθόν,
ὥσπερ εἴρηται.
Σημεῖον δὲ μέγιστον·
αἱ γὰρ τοιαῦται
φαίνονται τραγικώταται

et passer
non du malheur au bonheur,
mais le contraire (au contraire)
du bonheur au malheur,
non à cause de la perversité,
mais à cause d'une grand faute,
ou d'*un personnage tel* qu'il a été
ou meilleur plutôt que pire. [dit,
Or ce qui se passe
en est aussi la preuve :
car d'une part les poëtes
passaient-en-revue auparavant
les fables s'étant rencontrées,
mais maintenant les plus belles tra-
sont composées [gédies
sur quelques familles,
comme sur Alcméon
et Œdipe et Oreste
et Méléagre et Thyeste
et Télèphe, [est arrivé
et *sur les autres* auxquels autres il
ou d'avoir souffert ou d'avoir fait
des choses terribles.
D'une part donc la tragédie
très-belle selon l'art
est (résulte)
de cette constitution. [chent
C'est pourquoi aussi ceux qui repro-
à Euripide cette chose même,
parce qu'il fait cela
dans les tragédies
et *que* beaucoup *de tragédies* de lui
finissent dans (aboutissent à)
le malheur,
se trompent.
Car ceci est correct,
comme il a été dit.
Or une preuve très-grande *en est* ;
c'est-que les *tragédies* telles
paraissent les plus tragiques

κώταται αἱ τοιαῦται φαίνονται, ἂν κατορθωθῶσιν· καὶ ὁ Εὐριπίδης, εἰ καὶ τὰ ἄλλα μὴ εὖ οἰκονομεῖ, ἀλλὰ τραγικώτατός γε τῶν ποιητῶν φαίνεται.

Δευτέρα δ' ἡ πρώτη λεγομένη ὑπὸ τινῶν ἐστι σύστασις, ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα, καθάπερ ἡ Ὀδύσσεια, καὶ τελευτῶσα ἐξ ἐναντίας τοῖς βελτίοσι καὶ χείροσιν[1]. Δοκεῖ δὲ εἶναι πρῶτη διὰ τὴν τῶν θεάτρων[2] ἀσθένειαν· ἀκολουθοῦσι γὰρ οἱ ποιηταὶ κατ' εὐχὴν ποιοῦντες τοῖς θεαταῖς. Ἔστι δὲ οὐχ αὕτη ἀπὸ τραγῳδίας ἡδονή, ἀλλὰ μᾶλλον τῆς κωμῳδίας οἰκεία· ἐκεῖ γάρ, ἂν οἱ ἔχθιστοι ὦσιν ἐν τῷ μύθῳ, οἷον Ὀρέστης καὶ Αἴγισθος, φίλοι γενόμενοι ἐπὶ τελευτῆς ἐξέρχονται, καὶ ἀποθνήσκει οὐδεὶς ὑπ' οὐδενός.

XIV. Ἔστι μὲν οὖν τὸ φοβερὸν καὶ ἐλεεινὸν ἐκ τῆς ὄψεως γίνεσθαι· ἔστι δὲ καὶ ἐξ αὐτῆς τῆς συστάσεως τῶν πραγμάτων, ὅπερ ἐστὶ πρότερον καὶ ποιητοῦ ἀμείνονος. Δεῖ γὰρ καὶ

paraissent les plus tragiques, quand elles sont bonnes d'ailleurs; aussi Euripide, s'il pèche par la conduite de ses drames, paraît au moins le plus tragique des poëtes.

La seconde forme, celle que quelques-uns mettent au premier rang, est celle où la fable est double, comme dans l'Odyssée, et l'événement double et contraire pour les bons et pour les méchants. Ces fables ont [ordinairement] l'avantage [sur les autres], grâce à la faiblesse des spectateurs, et les poëtes suivent docilement le goût de leurs auditeurs, Mais [en vérité] ce plaisir n'est pas du domaine de la tragédie; il appartient plutôt à la comédie Là, en effet, les plus grands ennemis dans la pièce, comme Oreste et Égisthe, se retirent amis au dénoûment, et personne ne donne la mort ni ne la reçoit.

XIV. La terreur et la pitié peuvent venir du spectacle; elles peuvent aussi venir de l'action même, ce qui vaut mieux et suppose un poëte plus habile. La fable doit être ainsi composée,

πὶ τῶν σχηνῶν
αὶ τῶν ἀγώνων,
ν κατορθωθῶσιν·
αὶ ὁ Εὐριπίδης,
εἰ καὶ μὴ οἰκονομεῖ εὖ τὰ ἄλλα,
οαίνεταί γε τραγικώτατος
ῶν ποιητῶν.

Δευτέρα δὲ σύστασίς
ἡ λεγομένη πρώτη,
ὑπὸ τινων
ἔστιν ἡ ἔχουσά τε
τὴν σύστασιν διπλῆν,
καθάπερ ἡ Ὀδυσσεία,
καὶ τελευτῶσα ἐξ ἐναντίας
τοῖς βελτίοσι καὶ χείροσιν.
Δοκεῖ δὲ εἶναι πρώτη
διὰ τὴν ἀσθένειαν τῶν θεάτρων·
οἱ γὰρ ποιηταὶ
ἀκολουθοῦσι τοῖς θεαταῖς
ποιοῦντες κατὰ εὐχήν.
Αὕτη δὲ ἡδονή
οὐκ ἐστιν ἀπὸ τῆς τραγῳδίας,
ἀλλὰ μᾶλλον οἰκεία
τῆς κωμῳδίας·
ἐκεῖ γάρ, ἂν οἱ ἔχθιστοι
ὦσιν ἐν τῷ μύθῳ,
οἷον Ὀρέστης καὶ Αἴγισθος,
ἐξέρχονται ἐπὶ τελευτῆς
γενόμενοι φίλοι,
καὶ οὐδεὶς ἀποθνήσκει
ὑπὸ οὐδενός.

XIV. Ἔστι μὲν οὖν
τὸ φοβερὸν καὶ ἐλεεινὸν
γίνεσθαι ἐκ τῆς ὄψεως·
ἔστι δὲ καὶ
ἐκ τῆς συστάσεως αὐτῆς
τῶν πραγμάτων,
ὅπερ ἐστὶ πρότερον
καὶ ποιητοῦ ἀμείνονος.
Δεῖ γὰρ

sur les scènes
et dans les concours-scéniques,
si elles ont été bien-faites;
et Euripide, [autres *parties*,
quoiqu'il ne distribue pas bien les
paraît du moins le plus tragique
des poëtes. [tion *de la tragédie*

D'autre part la seconde constitu-
celle appelée la première,
par quelques-uns
est celle et ayant
la composition double,
comme l'Odyssée,
et finissant d'une *manière* contraire
pour les meilleurs et pour les pires.
Or elle paraît être la première
à cause de la faiblesse des specta-
car les poëtes [teurs;
suivent les spectateurs
composant selon *leur* vœu.
Or ce plaisir
n'est pas *résultant* de la tragédie,
mais plutôt propre
à la comédie; [ennemis
car là, si *les personnages* les plus
sont dans la pièce,
comme Oreste et Égisthe,
ils sortent à la fin
étant devenus amis,
et personne ne meurt
du fait de personne. [donc

XIV. Il est-possible d'une part
le terrible et le pitoyable
naître du spectacle;
il est-possible d'autre part aussi
ces sentiments naître de la compo-
des faits, [sition même
ce qui est préférable
et d'un poëte meilleur.
Car il faut

ἄνευ τοῦ ὁρᾶν οὕτω συνεστάναι τὸν μῦθον ὥστε τὸν ἀκούοντα τὰ πράγματα γινόμενα καὶ φρίττειν καὶ ἐλεεῖν ἐκ τῶν συμβαινόντων· ἅπερ ἂν πάθοι τις ἀκούων τὸν τοῦ Οἰδίποδος μῦθον. Τὸ δὲ διὰ τῆς ὄψεως τοῦτο παρασκευάζειν ἀτεχνότερον καὶ χορηγίας[1] δεόμενόν ἐστιν. Οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως ἀλλὰ τὸ τερατῶδες μόνον παρασκευάζοντες οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν· οὐ γὰρ πᾶσαν δεῖ ζητεῖν ἡδονὴν ἀπὸ τραγῳδίας, ἀλλὰ τὴν οἰκείαν.

Ἐπεὶ δὲ τὴν ἀπὸ ἐλέου καὶ φόβου διὰ μιμήσεως δεῖ ἡδονὴν παρασκευάζειν τὸν ποιητήν, φανερὸν ὡς τοῦτο ἐν τοῖς πράγμασιν ἐμποιητέον. Ποῖα οὖν δεινὰ ἢ ποῖα οἰκτρὰ φαίνεται τῶν συμπιπτόντων, λάβωμεν.

Ἀνάγκη δὲ ἢ φίλων εἶναι πρὸς ἀλλήλους τὰς τοιαύτας πράξεις ἢ ἐχθρῶν ἢ μηδετέρων. Ἂν μὲν οὖν ἐχθρὸς ἐχθρὸν ἀπο-

que, même sans voir, on frissonne et l'on s'attendrisse, rien qu'à entendre ce qui se passe [et ce qui se dit] sur la scène, précisément comme il nous arrive en écoutant la fable d'Œdipe. Au contraire, l'effet du spectacle est moins l'œuvre de l'art, et dépend des frais faits pour la représentation. Quant à ceux qui cherchent par le spectacle à produire l'effrayant au lieu du terrible, ils ne sont plus dans la tragédie; car la tragédie ne doit pas donner toutes sortes de plaisirs, mais ceux qui lui sont propres.

Puisque c'est le poëte qui doit produire par l'imitation le plaisir provenant de la terreur et de la pitié, il est clair qu'il doit mettre ces émotions dans la fable. Voyons donc quelles sont les actions qui produisent la terreur et la pitié.

Ces actions sont nécessairement faites par des personnes amies entre elles ou ennemies ou indifférentes. Qu'un ennemi tue son

τὸν μῦθον συνεστάναι οὕτω
καὶ ἄνευ τοῦ ὁρᾶν
ὥστε τὸν ἀκούοντα
τὰ πράγματα γινόμενα
καὶ φρίττειν καὶ ἐλεεῖν
ἐκ τῶν συμβαινόντων·
ἅπερ τις πάθοι ἄν
ἀκούων τὸν μῦθον
τοῦ Οἰδίποδος.
Τὸ δὲ παρασκευάζειν τοῦτο
διὰ τῆς ὄψεως
ἐστὶν ἀτεχνότερον
καὶ δεόμενον χορηγίας.
Οἱ δὲ παρασκευάζοντες
διὰ τῆς ὄψεως
μὴ τὸ φοβερὸν
ἀλλὰ τὸ τερατῶδες μόνον
κοινωνοῦσιν οὐδὲν τραγῳδίᾳ·
οὐ γὰρ δεῖ ζητεῖν
ἀπὸ τραγῳδίας
πᾶσαν ἡδονήν,
ἀλλὰ τὴν οἰκείαν.
Ἐπεὶ δὲ δεῖ
τὸν ποιητὴν παρασκευάζειν
διὰ μιμήσεως
τὴν ἡδονὴν
ἀπὸ ἐλέου καὶ φόβου,
φανερὸν ὡς τοῦτο
ἐμποιητέον τοῖς πράγμασι.
Λαβῶμεν οὖν
ποῖα τῶν συμπιπτόντων
φαίνεται δεινά,
ποῖα οἰκτρά.
Ἀνάγκη δὲ
τὰς πράξεις τοιαύτας
εἶναι φίλων πρὸς ἀλλήλους,
ἢ ἐχθρῶν
ἢ μηδετέρων.
Ἂν μὲν οὖν ἐχθρὸς
ἀποκτείνῃ ἐχθρόν,

la fable être composée ainsi
même sans le voir (sans le spectacle)
que celui qui entend
les faits qui se-passent
et frissonne et s'apitoye
par suite des événements : [vées
impressions que l'on aurait éprou-
en entendant la fable
d'Œdipe.
Mais le *fait* de produire ceci
par le spectacle
est plus dépourvu-d'-art [rége.
et ayant besoin du secours-du-cho-
Mais ceux cherchant-à-produire
par le spectacle
non le terrible
mais le monstrueux seul [gédie ;
n'ont rien de commun avec la tra-
car il ne faut pas chercher
à tirer de la tragédie
tout plaisir,
mais le *plaisir qui lui est* propre.
Or puisqu'il faut
le poëte chercher-à-procurer
par imitation
le plaisir
résultant de la pitié et de la terreur,
il est évident que ceci (ces sentiments)
est devant être mis-dans les faits.
Ayons examiné donc
quels des événements
apparaissent terribles,
quels *apparaissent* pitoyables.
Or nécessité *est*
les actions telles [tres
être d'amis les-uns-envers-les-au-
ou d'ennemis [l'autre.
ou de *gens qui ne sont* ni-l'un-ni-
Si d'une part donc un ennemi
a tué un ennemi,

κτείνῃ, οὐδὲν ἐλεεινὸν οὔτε ποιῶν οὔτε μέλλων δείκνυσι, πλὴν κατ' αὐτὸ τὸ πάθος· οὐδ' ἂν μηδετέρως ἔχοντες. Ὅταν δ' ἐν ταῖς φιλίαις ἐγγένηται τὰ πάθη, οἷον εἰ ἀδελφὸς ἀδελφὸν ἢ υἱὸς πατέρα ἢ μήτηρ υἱὸν ἢ υἱὸς μητέρα ἀποκτείνει ἢ μέλλει ἤ τι ἄλλο τοιοῦτον δρᾷ, ταῦτα ζητητέον. Τοὺς μὲν οὖν παρειλημμένους μύθους λύειν οὐκ ἔστιν, λέγω δὲ οἷον τὴν Κλυταιμνήστραν ἀποθανοῦσαν ὑπὸ τοῦ Ὀρέστου καὶ τὴν Ἐριφύλην ὑπὸ τοῦ Ἀλκμαίωνος· αὐτὸν δὲ εὑρίσκειν δεῖ, καὶ τοῖς παραδεδομένοις χρῆσθαι καλῶς. Τὸ δὲ καλῶς τί λέγομεν, εἴπωμεν σαφέστερον.

Ἔστι μὲν γὰρ οὕτω γίνεσθαι τὴν πρᾶξιν ὥσπερ οἱ παλαιοὶ ἐποίουν, εἰδότας καὶ γινώσκοντας[1]· καθάπερ καὶ Εὐριπίδης ἐποίησεν ἀποκτείνουσαν τοὺς παῖδας τὴν Μήδειαν· ἔστι δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι

ennemi, avant cet acte ou pendant qu'il s'accomplit il n'y a rien [de terrible ni] de pitoyable pour le spectateur, sinon l'acte lui-même; ainsi des personnes indifférentes. Mais que le malheur arrive à des personnes qui s'aiment, qu'un frère tue ou veuille tuer son frère, un fils son père, une mère son fils, ou un fils sa mère, ou quelque chose de semblable, voilà les contrastes qu'il faut chercher. Toutefois il n'est pas permis de changer les fables reçues, par exemple le meurtre de Clytemnestre par Oreste, et celui d'Ériphyle par Alcméon. Il faut trouver des moyens, et employer convenablement la tradition. Mais sur ce point nous devons nous expliquer.

On peut commettre le crime avec conscience et connaissance, comme chez les anciens poëtes; telle est la Médée d'Euripide, quand elle tue ses enfants. On peut le commettre avec ignorance, et recon-

οὔτε ποιῶν
οὔτε μέλλων
δείκνυσιν οὐδὲν ἐλεεινόν,
πλὴν κατὰ τὸ πάθος αὐτό·
οὐδὲ ἄν
ἔχοντες μηδετέρως.
Ὅταν δὲ τὰ πάθη
ἐγγένηται ἐν ταῖς φιλίαις,
οἷον εἰ ἀδελφὸς
ἀποκτείνει ἀδελφὸν
ἢ μέλλει,
ἢ υἱὸς πατέρα,
ἢ μήτηρ υἱόν,
ἢ υἱὸς μητέρα,
ἢ δρᾷ τι ἀλλὸ τοιοῦτον,
ζητητέον ταῦτα.
Οὐκ ἔστι μὲν οὖν
λύειν τοὺς μύθους
παρειλημμένους,
λέγω δὲ οἷον
τὴν Κλυταιμνήστραν
ἀποθανοῦσαν ὑπὸ τοῦ Ὀρέστου
καὶ τὴν Ἐριφύλην
ὑπὸ τοῦ Ἀλκμαιῶνος·
δεῖ δὲ αὐτὸν εὑρίσκειν,
καὶ χρῆσθαι καλῶς
τοῖς παραδεδομένοις.
Εἴπωμεν δὲ σαφέστερον
τί λέγομεν τὸ καλῶς.
Ἔστι μὲν γὰρ
τὴν πρᾶξιν γίνεσθαι οὕτω
ὥσπερ οἱ παλαιοὶ ἐποίουν,
εἰδότας καὶ γινώσκοντας·
καθάπερ καὶ Εὐριπίδης
ἐποίησε τὴν Μήδειαν
ἀποκτείνουσαν τοὺς παῖδας·
ἔστι δὲ πράξαι μέν,
πρᾶξαι δὲ τὸ δεινὸν
ἀγνοοῦντας,
εἶτα ἀναγνωρίσαι ὕστερον

ni en faisant *cela*
ni en s'apprêtant *à le faire*
il ne fait-voir rien de pitoyable,
excepté à l'événement-tragique même;
ni si *ce sont des gens* [me;
n'étant ni-d'une-ni-d'-autre-façon.
Mais quand les événements-tragiques
sont arrivés dans les amitiés, [ques
comme si un frère
tue *son* frère,
ou doit *le tuer*,
ou un fils *son* père,
ou une mère *son* fils,
ou un fils *sa* mère,
ou fait quelqu'autre chose telle,
il faut chercher ces *contrastes*.
Or il n'est-pas-possible d'une part
de défaire les fables
reçues-par-tradition,
or je dis par-exemple
Clytemnestre
étant morte du-fait-d'Oreste
et Ériphyle
du-fait-d'Alcméon; [ver,
mais il faut *le poëte* lui-même trou-
et se servir bien
des *faits* transmis.
Mais ayons dit plus clairement
quelle chose nous appelons le bien.
Il est-possible d'une part en effet
l'action se passer ainsi
comme les anciens faisaient [sant;
les personnages sachant et connais-
de même qu'aussi Euripide
a fait Médée
tuant *ses* enfants; [agi à la vérité,
d'autre part il est-possible d'avoir
mais d'avoir fait *ce qui est* terrible
ignorant *ce que l'on fait*,
puis d'avoir reconnu plus tard

τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους. Τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος[1], ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷον ὁ Ἀλκμαίων ὁ Ἀστυδάμαντος ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ. Ἔτι δὲ τρίτον παρὰ ταῦτα τὸ μέλλοντα ποιεῖν τι τῶν ἀνηκέστων δι' ἄγνοιαν ἀναγνωρίσαι πρὶν ποιῆσαι. Καὶ παρὰ ταῦτα οὐκ ἔστιν ἄλλως· ἢ γὰρ πρᾶξαι ἀνάγκη ἢ μή, καὶ εἰδότας ἢ μὴ εἰδότας.

Τούτων δὲ τὸ μὲν γινώσκοντα μελλῆσαι καὶ μὴ πρᾶξαι χείριστον· τό τε γὰρ μιαρὸν ἔχει, καὶ οὐ τραγικόν· ἀπαθὲς γάρ. Διόπερ οὐδεὶς ποιεῖ ὁμοίως, εἰ μὴ ὀλιγάκις, οἷον ἐν Ἀντιγόνῃ[2] τὸν Κρέοντα ὁ Αἵμων. Τὸ δὲ πρᾶξαι δεύτερον. Βέλτιον δὲ τὸ ἀγνοοῦντα μὲν πρᾶξαι, πράξαντα δὲ ἀναγνωρίσαι·

naître son ami après [le crime accompli], comme dans l'*Œdipe* [*roi*] de Sophocle, où ce premier moment de l'action est hors du drame. Au contraire, il en fait partie dans l'*Alcméon* d'Astydamas, comme le crime de Télégonus dans l'*Ulysse blessé* [de Chérémon?]. Une troisième manière, c'est lorsqu'au moment de commettre par ignorance un crime irréparable, on reconnaît [la victime] avant d'achever. [Une quatrième serait de connaître, de commencer, et de ne pas achever.] Il n'y a point d'autre manière, car il faut bien commettre ou ne pas commettre le crime, en connaissant ou sans connaître [la victime].

De ces diverses manières, être au moment d'achever avec connaissance et ne pas achever, est la plus mauvaise; l'action alors est odieuse, sans être tragique, car il n'y a pas de victime. Aussi ne l'emploie-t-on que rarement; telle est la conduite d'Hémon envers Créon dans l'*Antigone* [de Sophocle?]. Il vaut mieux que l'action s'achève, et mieux encore qu'on l'accomplisse sans connaître, et qu'on reconnaisse ensuite;

τὴν φιλίαν,
ὥσπερ ὁ Οἰδίπους Σοφοκλέους.
Τοῦτο μὲν οὖν
ἐξω τοῦ δράματος,
ἐν δὲ τῇ τραγῳδίᾳ αὐτῇ
οἷον ὁ Ἀλκμαίων
ὁ Ἀστυδάμαντος,
ἢ ὁ Τηλέγονος
ὁ ἐν τῷ Ὀδυσσεῖ τραυματίᾳ.
Ἔτι δὲ τρίτον
παρὰ ταῦτα,
τὸ
μέλλοντα ποιεῖν
τι τῶν ἀνηκέστων
διὰ ἄγνοιαν
ἀναγνωρίσαι
πρὶν ποιῆσαι.
Καὶ οὐκ ἔστιν ἄλλως
παρὰ ταῦτα·
ἀνάγκη γὰρ
ἢ πρᾶξαι ἢ μή,
καὶ εἰδότας ἢ μὴ εἰδότας.
Τὸ δὲ τούτων
γινώσκοντα μὲν μελλῆσαι
καὶ μὴ πρᾶξαι
χείριστον·
ἔχει γάρ τε τὸ μιαρόν,
καὶ οὐ τραγικόν·
ἀπαθὲς γάρ.
Διόπερ
οὐδεὶς ποιεῖ ὁμοίως
εἰ μὴ ὀλιγάκις,
οἷον ἐν Ἀντιγόνῃ
ὁ Αἵμων τὸν Κρέοντα.
Τὸ δὲ πρᾶξαι
δεύτερον.
Τὸ δὲ πρᾶξαι
ἀγνοοῦντα μέν,
πράξαντα δὲ ἀγνωρίσαι
βέλτιον·

l'amitié (les rapports d'amitié),
comme l'Œdipe de Sophocle.
Or ceci *se passe* d'une part
hors du drame,
d'autre part dans la tragédie même,
comme l'Alcméon
celui d'Astydamas,
ou le Télégonus
celui *qui est* dans l'Ulysse blessé.
D'autre part *il est* en outre une troi-
outre celles-là, [sième *manière*
à *savoir* ceci
devant faire (quand on doit faire)
quelqu'une des choses irremédia-
par ignorance [bles
avoir reconnu
avant d'avoir fait.
Et il n'est pas possible *qu'il soit* au-
outre ces *manières*; [trement
car nécessité *est*
ou d'avoir agi ou non,
et sachant ou ne sachant pas.
Or celle-ci d'entre ces *manières*
sachant d'une part avoir dû agir
et n'avoir pas agi
est la plus mauvaise;
car et elle a l'odieux,
et *elle* n'*est* pas tragique;
car *elle est* ne-provoquant-pas-la-
C'est pourquoi [sensibilité.
personne ne fait ainsi
sinon rarement,
comme dans l'Antigone
Hémon *est sur le point de tuer* Créon.
D'autre part le avoir agi
est la deuxième *manière*.
Mais le avoir agi
ignorant d'une part,
et ayant agi avoir reconnu
est meilleur;

τό τε γὰρ μιαρὸν οὐ πρόσεστι, καὶ ἡ ἀναγνώρισις ἐκπληκτικόν.

Κράτιστον δὲ τὸ τελευταῖον, λέγω δὲ οἷον ἐν τῷ Κρεσφόντῃ[1] ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν· καὶ ἐν τῇ Ἰφιγενείᾳ ἡ ἀδελφὴ τὸν ἀδελφόν, καὶ ἐν τῇ Ἕλλῃ[2] ὁ υἱὸς τὴν μητέρα ἐκδιδόναι μέλλων ἀνεγνώρισεν.

Διὰ γὰρ τοῦτο, ὅπερ πάλαι εἴρηται, οὐ περὶ πολλὰ γένη αἱ τραγῳδίαι εἰσίν. Ζητοῦντες γὰρ οὐκ ἀπὸ τέχνης ἀλλ' ἀπὸ τύχης εὗρον τὸ τοιοῦτον παρασκευάζειν ἐν τοῖς μύθοις· ἀναγκάζονται οὖν ἐπὶ ταύτας τὰς οἰκίας ἀπαντᾶν, ὅσαις τὰ τοιαῦτα συμβέβηκε πάθη.

Περὶ μὲν οὖν τῆς τῶν πραγμάτων συστάσεως, καὶ ποίους τινὰς εἶναι δεῖ τοὺς μύθους, εἴρηται ἱκανῶς.

XV. § 1. Περὶ δὲ τὰ ἤθη τέτταρά ἐστιν ὧν δεῖ στοχάζε-

le crime alors n'a rien d'odieux, et la reconnaissance est d'un effet terrible.

Le troisième genre est le meilleur. Ainsi dans le *Cresphonte* [d'Euripide], Mérope va tuer son fils; mais elle ne le frappe pas : elle l'a reconnu; dans l'*Iphigénie* [*chez les Tauriens* du même poëte], c'est la sœur qui va tuer son frère; dans l'*Hellé* [de....?] le fils allait livrer sa mère, quand il la reconnaît.

Voilà pourquoi, ainsi qu'on l'a déjà dit, les tragédies sont renfermées dans un petit nombre de familles. C'est en cherchant au hasard [dans l'histoire], et non par [les combinaisons de] l'art, que les poëtes ont trouvé de tels sujets de fables tragiques; ils sont donc forcés de s'adresser aux familles qui en offrent des exemples.

En voilà assez sur la manière de composer les actions tragiques et sur les qualités qu'elles doivent avoir.

XV. § 1. A l'égard des mœurs, il y a quatre points à observer,

τὸ τε γὰρ μιαρὸν οὐ πρόσεστι,
καὶ ἡ ἀναγνώρισις
ἐκπληκτικόν.

Τὸ δὲ τελευταῖον
κράτιστον,
λέγω δὲ
οἷον ἡ Μερόπη
ἐν τῷ Κρεσφόντῃ
μέλλει ἀποκτείνειν
τὸν υἱόν,
οὐ δὲ ἀποκτείνει,
ἀλλὰ ἀνεγνώρισεν·
καὶ ἐν τῇ Ἰφιγενείᾳ
ἡ ἀδελφὴ τὸν ἀδελφόν,
καὶ ἐν τῇ Ἕλλῃ
ὁ υἱὸς μέλλων ἐκδιδόναι
τὴν μητέρα
ἀνεγνώρισεν.

Διὰ γὰρ τοῦτο
αἱ τραγῳδίαι οὐκ εἰσι
περὶ πολλὰ γένη,
ὅπερ εἴρηται πάλαι.
Ζητοῦντες γὰρ
εὗρον οὐκ ἀπὸ τέχνης
ἀλλὰ ἀπὸ τύχης
παρασκευάζειν τὸ τοιοῦτον
ἐν ταῖς μύθοις·
ἀναγκάζονται οὖν
ἅπαντἂν ἐπὶ ταύτας τὰς οἰκίας,
ὅσαις τὰ πάθη τοιαῦτα
συμβέβηκε.

Εἴρηται μὲν οὖν ἱκανῶς
περὶ τῆς συστάσεως
τῶν πραγμάτων,
καὶ ποίους τινὰς
δεῖ τοὺς μύθους εἶναι.

XV. § 1. Τέτταρα δέ
ἐστι περὶ τὰ ἤθη,
ὧν δεῖ στοχάζεσθαι,
ἓν μὲν καὶ πρῶτον,

car et l'odieux ne s'*y* joint pas,
et la reconnaissance
est quelque chose qui-frappe.

Mais la dernière *manière*
est la meilleure
or je dis
comme Mérope
dans Cresphonte
est-sur-le-point-de tuer
son fils,
mais ne *le* tue pas,
au contraire elle *l'*a reconnu ;
et dans Iphigénie [frère,
la sœur *étant sur le-point de tuer* le
et dans Hellé
le fils étant-sur-le-point-de livrer
la mère,
*l'*a reconnue.

A cause de cela en effet [pas)
les tragédies ne sont pas (ne roulent
autour de beaucoup de familles,
ce qui a été dit précédemment.
Car en cherchant [près l'art
ils (les poëtes) ont trouvé non d'a-
mais par le-fait-du hasard
à combiner quelque chose de tel
dans les fables ;
ils sont forcés donc
à se rendre vers ces maisons,
auxquelles les événements-tragi-
sont arrivés. [ques tels

D'une part donc il a été parlé assez
sur la constitution
des actions,
et de quelle sorte
il faut les fables être. [*points*

XV. § 1. D'autre part quatre
sont touchant les mœurs,
auxquels il faut viser,
l'un d'une part et le premier,

σθαι, ἓν μὲν καὶ πρῶτον, ὅπως χρηστὰ ᾖ. Ἔξει δὲ ἦθος μέν, ἐάν, ὥσπερ ἐλέχθη, ποιῇ φανερὰν ὁ λόγος ἢ ἡ πρᾶξις προαίρεσίν τινα, φαῦλον μὲν ἐὰν φαύλην, χρηστὸν δ' ἐὰν χρηστήν. Ἔστι δὲ ἐν ἑκάστῳ γένει· καὶ γὰρ γυνή ἐστι χρηστὴ καὶ δοῦλος· καίτοι γε ἴσως τούτων τὸ μὲν χεῖρον, τὸ δὲ ὅλως φαῦλόν ἐστιν.

Δεύτερον δὲ τὰ ἁρμόττοντα. Ἔστι γὰρ ἀνδρεῖον μὲν τὸ ἦθος, ἀλλ' οὐχ ἁρμόττον γυναικὶ τὸ ἀνδρείαν ἢ δεινὴν εἶναι.

Τρίτον δὲ τὸ ὅμοιον· τοῦτο γὰρ ἕτερον τοῦ χρηστὸν τὸ ἦθος καὶ ἁρμόττον ποιῆσαι, ὥσπερ εἴρηται.

Τέταρτον δὲ τὸ ὁμαλόν· κἂν γὰρ ἀνώμαλός τις ᾖ ὁ τὴν μίμησιν παρέχων καὶ τοιοῦτον ἦθος ὑποτιθείς, ὅμως ὁμαλῶς ἀνώμαλον δεῖ εἶναι.

Ἔστι δὲ παράδειγμα πονηρίας μὲν ἤθους μὴ ἀναγκαῖον[1]

dont l'un, et le plus important, c'est qu'elles soient bonnes. Or, il y a des mœurs dans un poëme, comme nous l'avons dit, lorsque les paroles ou les actions expriment une intention; et les mœurs sont mauvaises quand l'intention est mauvaise, bonnes, quand l'intention est bonne; et cela dans toutes les classes; car une femme peut être bonne et même un esclave, quoique, à vrai dire, les femmes soient en général moins bonnes, et que les esclaves soient toujours mauvais.

Le second point est la convenance. Car la bravoure est dans les mœurs, mais il n'est pas dans celles d'une femme d'être brave et terrible.

Le troisième point, c'est la ressemblance, qui est distincte de la bonté et de la convenance, comme on l'a déjà dit.

Le quatrième est l'égalité. En effet, quand même le personnage imité serait d'un caractère inégal, ce caractère une fois donné doit être également inégal.

Exemples de mœurs mauvaises sans nécessité : Ménélas dans

ὅπως ᾖ χρηστά.
Ἔξει δὲ ἦθος μέν,
ἐάν, ὥσπερ ἐλέχθη,
ὁ λόγος ἢ ἡ πρᾶξις
ποιῇ φανεράν
τινα προαίρεσιν,
φαῦλον μέν,
ἐὰν φαύλην,
χρηστὸν δέ,
ἐὰν χρηστήν.
Ἔστι δὲ ἐν ἑκάστῳ γένει·
καὶ γὰρ γυνή ἐστι χρηστὴ
καὶ δοῦλος·
καίτοι γε ἴσως
τὸ μὲν τούτων ἐστὶ χεῖρον,
τὸ δὲ ὅλως φαῦλον.
Δεύτερον δὲ
τὰ ἁρμόττοντα.
Τὸ γὰρ μὲν ἦθός
ἐστιν ἀνδρεῖον,
ἀλλὰ τὸ εἶναι
ἀνδρείαν ἢ δεινὴν
οὐχ ἁρμόττον γυναικί.
Τρίτον δὲ
τὸ ὅμοιον·
τοῦτο γάρ ἐστιν ἕτερον
τοῦ ποιῆσαι τὸ ἦθος
χρηστὸν καὶ ἁρμόττον,
ὥσπερ εἴρηται.
Τέταρτον δὲ
τὸ ὁμαλόν·
καὶ γὰρ ἂν
ὁ παρέχων τὴν μίμησιν
καὶ ὑποτιθεὶς τοιοῦτον ἦθος
ᾖ τις ἀνώμαλος,
δεῖ ὁμῶς εἶναι
ὁμαλῶς ἀνώμαλον.
Παραδείγμα δέ ἐστι
μὴ ἀναγκαῖον
πονηρίας μὲν ἤθους,

qu'elles soient bonnes. [part,
Or *un poëme* aura des mœurs d'une
si, comme il a été dit,
la parole ou l'action
rend manifeste
une certaine intention,
mœurs mauvaises d'une part,
si *elles manifestent une intention*
bonnes d'autre part, [mauvaise,
si elles en manifestent une bonne.
Or *cela* arrive dans chaque genre ;
car une femme est bonne
et un esclave *est bon :*
quoique peut-être
l'un de ces *êtres* soit inférieur,
l'autre généralement mauvais.
D'autre part le second *point est*
les convenances.
Car d'une part les mœurs
sont braves (la bravoure fait partie
mais le être [des mœurs)
brave ou terrible [me.
n'*est* pas convenable pour une fem-
D'autre part le troisième *point est*
le semblable (la ressemblance) ;
car ceci est différent
d'avoir fait les mœurs
bonnes et convenables,
comme il a été dit. [*est*
D'autre part le quatrième *point*
l'égal (l'égalité) :
car si
celui qui fournit l'imitation
et qui présente de telles mœurs
est quelqu'un *d'*inégal,
il faut cependant *lui* être
également inégal. [ples)
Or exemple est (il y a des exem-
non nécessaire [des mœurs,
d'une part de la mauvaise-nature

οἷον ὁ Μενέλαος ὁ ἐν τῷ Ὀρέστῃ, τοῦ δὲ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος ὅ τε θρῆνος Ὀδυσσέως ἐν τῇ Σκύλλῃ [1] καὶ ἡ τῆς Μελανίππης ῥῆσις, τοῦ δὲ ἀνωμάλου ἡ ἐν Αὐλίδι Ἰφιγένεια· οὐδὲν γὰρ ἔοικεν ἡ ἱκετεύουσα τῇ ὑστέρᾳ.

Χρὴ δὲ καὶ ἐν τοῖς ἤθεσιν, ὥσπερ καὶ ἐν τῇ τῶν πραγμάτων συστάσει, ἀεὶ ζητεῖν ἢ τὸ ἀναγκαῖον ἢ τὸ εἰκός, ὥστε τὸν τοιοῦτον τὰ τοιαῦτα λέγειν ἢ πράττειν ἢ ἀναγκαῖον ἢ εἰκός, καὶ τοῦτο μετὰ τοῦτο γίνεσθαι ἢ ἀναγκαῖον ἢ εἰκός....

§ 2. Φανερὸν οὖν ὅτι καὶ τὰς λύσεις τῶν μύθων ἐξ αὐτοῦ δεῖ τοῦ μύθου συμβαίνειν, καὶ μή, ὥσπερ ἐν τῇ Μηδείᾳ, ἀπὸ μηχανῆς, καὶ ἐν τῇ Ἰλιάδι τὰ περὶ τὸν ἀπόπλουν [2]· ἀλλὰ μηχανῇ χρηστέον ἐπὶ τὰ ἔξω τοῦ δράματος ἢ ὅσα πρὸ τοῦ γέγονεν, ἃ οὐχ οἷόν τε ἄνθρωπον εἰδέναι, ἢ ὅσα ὕστερον, ἃ δεῖται προαγορεύσεως καὶ ἀγγελίας·

l'*Oreste* [d'Euripide]; de mœurs inconvenantes et déplacées, la complainte d'Ulysse dans la *Scylla* [de....?] et la tirade de *Mélanippe* [dans Euripide]; de mœurs inégales, *Iphigénie à Aulis* [dans Euripide], qui, suppliante [d'abord], se dément plus tard.

Or, dans les mœurs comme dans la composition de la fable, il faut chercher le nécessaire ou le vraisemblable. Ainsi avec tel caractère, il est nécessaire ou vraisemblable qu'on dise ou qu'on fasse telle chose, que tel événement arrive après tel autre....

§ 2. Il est donc évident que le dénoûment du drame doit venir de l'action même, et non par une machine, comme dans la *Médée* [d'Euripide], ou comme dans l'Iliade pour le départ [proposé par Agamemnon]. On se servira de machines pour les événements en dehors du drame, soit antérieurs à l'action et que les personnages ne pouvaient savoir, soit postérieurs et qui ont besoin d'être prédits et annoncés.

οἷον ὁ Μενέλαος
ὁ ἐν τῷ Ὀρέστῃ,
τοῦ δὲ ἁπρεποῦς
καὶ μὴ ἁρμόττοντος,
ὅ τε θρῆνος Ὀδυσσέως
ἐν τῇ Σκύλλῃ
καὶ ἡ ῥῆσις τῆς Μελανίππης,
τοῦ δὲ ἀνωμάλου,
ἡ Ἰφιγένεια ἐν Αὐλίδι·
ἡ γὰρ ἱκετευούσα
ἔοικεν οὐδὲν
τῇ ὑστέρᾳ.
Χρὴ δὲ καὶ
ἐν τοῖς ἤθεσιν
ὥσπερ καὶ ἐν τῇ συστάσει
τῶν πραγμάτων,
ζητεῖν ἀεὶ τὸ ἀναγκαῖον
ἢ τὸ εἰκός,
ὥστε ἢ ἀναγκαῖον ἢ εἰκὸς
τὸν τοιοῦτον
λέγειν ἢ πράττειν τὰ τοιαῦτα,
καὶ ἢ ἀναγκαῖον ἢ εἰκὸς
τοῦτο γίγνεσθαι
μετὰ τοῦτο....

§ 2. Φανερὸν οὖν ὅτι
καὶ δεῖ τὰς λύσεις τῶν μύθων
συμβαίνειν ἐκ τοῦ μύθου αὐτοῦ,
καὶ μὴ ἀπὸ μηχανῆς,
ὥσπερ ἐν τῇ Μηδείᾳ,
καὶ ἐν τῇ Ἰλιάδι
τὰ περὶ τὸν ἀποπλοῦν·
ἀλλὰ χρηστέον μηχανῇ
ἐπὶ τὰ ἔξω τοῦ δράματος,
ἢ ὅσα
γέγονε πρὸ τοῦ,
ἃ οὐχ οἷόν τε
ἄνθρωπον εἰδέναι,
ἢ ὅσα ὕστερον,
ἃ δεῖται προαγορεύσεως
καὶ ἀγγελίας·

comme Ménélas
celui *qui est* dans Oreste,
d'autre part de *mœurs* malséantes
et ne convenant pas,
comme et la complainte d'Ulysse
dans Scylla
et le discours de Mélanippe,
d'autre part de *mœurs* inégales,
Iphigénie à Aulis ;
car celle-ci suppliant
ne ressemble en rien [plus tard).
à elle postérieure (à ce qu'elle sera
D'autre part il faut aussi
dans les mœurs [tution
comme également dans la consti-
des actions,
chercher toujours le nécessaire
ou le vraisemblable,
de sorte *qu'il est* ou nécessaire ou
celui *étant* tel [vraisemblable
dire ou faire les choses telles,
et *qu'il est* ou nécessaire ou vrai-
ceci arriver [semblable
après cela...

§ 2. *Il est* évident donc que
et il faut les dénoûments des fables
arriver de la fable même,
et non d'une machine,
comme dans Médée,
et dans (ni comme dans) l'Iliade
les *fictions* touchant le départ ;
mais il faut se servir de machines
pour les *événements* en dehors du
ou *pour* tous-ceux-qui [drame
sont arrivés avant,
lesquels il n'*est* pas possible
un homme savoir,
ou tous-ceux-qui *sont arrivés* après,
lesquels ont besoin de prédiction
et d'annonce ;

ἅπαντα γὰρ ἀποδίδομεν τοῖς θεοῖς ὁρᾶν. Ἄλογον δὲ μηδὲν εἶναι ἐν τοῖς πράγμασιν· εἰ δὲ μή, ἔξω τῆς τραγῳδίας, οἷον τὰ ἐν τῷ Οἰδίποδι τῷ Σοφοκλέους.

Ἐπεὶ δὲ μίμησίς ἐστιν ἡ τραγῳδία βελτιόνων, ἡμᾶς δεῖ μιμεῖσθαι τοὺς ἀγαθοὺς εἰκονογράφους· καὶ γὰρ ἐκεῖνοι ἀποδιδόντες τὴν ἰδίαν μορφήν, ὁμοίους ποιοῦντες, καλλίους γράφουσιν. Οὕτω καὶ τὸν ποιητὴν μιμούμενον καὶ ὀργίλους καὶ ῥαθύμους καὶ τἆλλα τὰ τοιαῦτα ἔχοντας ἐπὶ τῶν ἠθῶν, ἐπιεικείας ποιεῖν παράδειγμα ἢ σκληρότητος δεῖ, οἷον τὸν Ἀχιλλέα Ἀγάθων καὶ Ὅμήρος....

Ταῦτα δὴ δεῖ διατηρεῖν, καὶ πρὸς τούτοις τὰ παρὰ[1] τὰς ἐξ ἀνάγκης ἀκολουθούσας αἰσθήσεις τῇ ποιητικῇ· καὶ γὰρ κατ' αὐτὰς ἔστιν ἁμαρτάνειν πολλάκις· εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς ἐκδεδομένοις λόγοις ἱκανῶς.

Car nous admettons que les dieux voient tout, mais rien ne doit être dans la fable, qui blesse la raison; tout ce qui serait déraisonnable se placera en dehors de la tragédie, comme [le meurtre de Laïus et le mariage de Jocaste] dans l'*Œdipe* [*roi*] de Sophocle.

D'un autre côté, puisque la tragédie imite des êtres meilleurs, nous devons faire comme les bons peintres de portraits, qui, tout en reproduisant avec fidélité les traits particuliers à chaque figure, l'embellissent pourtant. Ainsi le poëte, en imitant des hommes d'un caractère ardent ou timide, ou d'autres pareils, doit en faire comme des modèles de douceur ou de rudesse; tel est l'Achille d'Agathon et celui d'Homère....

Voilà ce qu'il faut observer, et, en outre, les convenances résultant des sentiments que toute poésie doit exciter : car sur ce point on peut faire bien des fautes; mais c'est ce dont nous avons parlé suffisamment dans les ouvrages déjà publiés.

ἀποδίδομεν γὰρ τοῖς θεοῖς
ὁρᾶν ἅπαντα.
Μηδὲν δὲ ἄλογον εἶναι
ἐν τοῖς πράγμασιν·
εἰ δὲ μή,
ἔξω τῆς τραγῳδίας,
οἷον τὰ ἐν τῷ Οἰδίποδι
τῷ Σοφοκλέους.
Ἐπεὶ δὲ
ἡ τραγῳδία ἐστὶ
μίμησις βελτιόνων,
δεῖ ἡμᾶς μιμεῖσθαι
τοὺς ἀγαθοὺς εἰκονογράφους·
καὶ γὰρ ἐκεῖνοι ἀποδιδόντες
τὴν μορφὴν ἰδίαν,
ποιοῦντες ὁμοίους,
γράφουσι καλλίους.
Οὕτω καὶ δεῖ
τὸν ποιητὴν μιμούμενον
καὶ ὀργίλους καὶ ῥᾳθύμους,
καὶ ἔχοντας
τὰ ἄλλα τοιαῦτα
ἐπὶ τῶν ἠθῶν,
ποιεῖν παραδεῖγμα
ἐπιεικείας ἢ σκληρότητος,
οἷον Ἀγάθων καὶ Ὅμηρος
τὸν Ἀχιλλέα.
Δεῖ δὴ
διατηρεῖν ταῦτα,
καὶ πρὸς τούτοις
τὰ παρὰ
τὰς αἰσθήσεις
ἀκολουθούσας ἐξ ἀνάγκης
τῇ ποιητικῇ·
καὶ γὰρ ἔστιν ἁμαρτάνειν
κατὰ ταύτας
πολλάκις.
Εἴρηται δὲ ἱκανῶς
περὶ αὐτῶν
ἐν τοῖς λόγοις ἐκδεδομένοις.

car nous accordons aux dieux
de voir tout.
Mais *il ne faut* rien de déraisonnable être
dans les actions;
sinon,
hors de la tragédie,
comme *les faits qui se passent* dans
celui de Sophocle.
D'un autre côté puisque
la tragédie est
une imitation d'*êtres* meilleurs,
il faut nous imiter
les bons peintres;
en effet ceux-ci rendant
la forme particulière,
tout en faisant des *êtres* semblables,
les peignent plus beaux.
De même aussi il faut
le poëte imitant
des *hommes* colères et *des hommes*
et *des hommes* ayant
les autres *caractères* tels
dans les mœurs,
faire un modèle
de douceur ou de rudesse,
comme Agathon et Homère
font Achille.
Il faut donc
observer ces *convenances*,
et outre celles-ci
celles *qui naissent* conformément
aux sentiments
suivant nécessairement
la poésie;
car il est-possible de se tromper
sur ces sentiments
souvent.
Mais il a été parlé suffisamment
sur ces *sujets* mêmes
dans les discours (les écrits) publiés.

XVI. Ἀναγνώρισις δὲ τί μέν ἐστιν εἴρηται πρότερον· εἰδὴ δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ ἀτεχνοτάτη, καὶ ᾗ πλείστῃ χρῶνται δι' ἀπορίαν, ἡ διὰ τῶν σημείων. Τούτων δὲ τὰ μὲν σύμφυτα, οἷον « λόγχην ἣν φοροῦσι Γηγενεῖς » ἢ ἀστέρας [1] οἵους ἐν τῷ Θυέστῃ Καρκίνος· τὰ δὲ ἐπίκτητα, καὶ τούτων τὰ μὲν ἐν σώματι, οἷον οὐλαί· τὰ δὲ ἐκτός, τὰ περιδέραια, καὶ οἷον ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης [2]. Ἔστι δὲ καὶ τούτοις χρῆσθαι ἢ βέλτιον ἢ χεῖρον, οἷον Ὀδυσσεὺς διὰ τῆς οὐλῆς ἄλλως ἀνεγνωρίσθη ὑπὸ τῆς τροφοῦ [3] καὶ ἄλλως ὑπὸ τῶν συβοτῶν [4]. Εἰσὶ γὰρ αἱ μὲν πίστεως ἕνεκα ἀτεχνότεραι, καὶ αἱ τοιαῦται πᾶσαι, αἱ δὲ ἐκ περιπετείας, ὥσπερ ἡ ἐν τοῖς Νίπτροις [5], βελτίους.

XVI. Nous avons dit plus haut ce que c'est que la reconnaissance. Maintenant la première espèce de reconnaissance, celle qui dépend le moins de l'art, et qu'on emploie le plus souvent faute de mieux, est celle qui se fait par les signes. Les signes sont ou naturels comme la lance empreinte sur les [corps des Thébains] nés de la terre, et comme les étoiles dans le *Thyeste* de Carcinus; ou accidentels, soit sur le corps comme les cicatrices, soit distincts du corps, comme les colliers, et, dans la *Tyro* [de Sophocle], la petite barque. On peut d'ailleurs s'en servir plus ou moins heureusement. Ainsi [dans Homère] Ulysse est reconnu au moyen de sa blessure d'une façon par sa nourrice, et d'une autre façon par les bergers; cette reconnaissance, et en général le signe employé comme témoignage, demandent moins d'art. Mais la reconnaissance par péripétie, comme dans la scène du *Bain* [d'Ulysse], est déjà meilleure.

XVI. Εἴρηται δὲ
πρότερον
τί μέν ἐστιν ἀναγνώρισις·
εἶδη δὲ
ἀναγνωρίσεως,
πρώτη μὲν ἡ ἀτεχνοτάτη,
καὶ ᾗ χρῶνται
πλείστῃ
διὰ ἀπορίαν,
ἡ διὰ τῶν σημείων.
Τούτων δὲ
τὰ μὲν σύμφυτα,
οἷον « λόγχην
ἣν οἱ Γηγενεῖς φοροῦσιν »
ἢ ἀστέρας οἵους Καρκῖνος
ἐν τῷ Θυέστῃ·
τὰ δὲ ἐπίκτητα,
καὶ τούτων
τὰ μὲν ἐν σώματι,
οἷον οὐλαί·
τὰ δὲ ἐκτός,
τὰ περιδέραια,
καὶ οἷον ἐν τῇ Τυροῖ
διὰ τῆς σκαφῆς.
Ἔστι δὲ καὶ
χρῆσθαι τούτοις
ἢ βέλτιον ἢ χεῖρον,
οἷον Ὀδυσσεὺς
ἀνεγνωρίσθη
διὰ τῆς οὐλῆς
ἄλλως ὑπὸ τῆς τροφοῦ,
καὶ ἄλλως
ὑπὸ τῶν συβοτῶν.
Αἱ μὲν γὰρ
ἕνεκα πίστεως
καὶ πᾶσαι αἱ τοιαῦταί
εἰσιν ἀτεχνότεραι,
αἱ δὲ ἐκ περιπετείας,
ὥσπερ ἡ ἐν τοῖς Νίπτροις
βελτίους.

XVI. Or il a été dit
précédemment [naissance ;
quelle chose d'un côté est la recon-
d'un autre côté les formes
de la reconnaissance *sont celles-ci*,
la première d'une part le plus dé-
et de laquelle on use [pourvue-d'-art,
la plus fréquente (le plus fréquem-
par embarras, [ment)
est celle *qui a lieu* par les signes.
Or de ceux-ci
les uns *sont* naturels,
comme « la lance
que les Fils-de-la-terre portent »
ou des astres tels que Carcinus
en montre dans Thyeste ;
les autres *sont* acquis,
et de ceux-ci
les uns sur le corps,
comme des cicatrices ;
les autres en dehors,
comme les colliers,
et comme il arrive dans Tyro,
par la nacelle.
D'autre part il est-possible aussi
d'user de ceux-ci
ou mieux ou plus mal,
comme Ulysse
fut reconnu
au moyen de *sa* cicatrice
autrement par la (sa) nourrice,
et autrement
par les bouviers.
Car d'un côté *les reconnaissances*
en vue d'*exciter* la croyance
et toutes les autres telles
sont plus dépourvues-d'-art, [tie,
mais celles *résultant* de la péripé-
comme celle *qui a lieu* dans le Bain
sont meilleures.

Δεύτεραι δὲ αἱ πεποιημέναι ὑπὸ τοῦ ποιητοῦ, διὸ ἄτεχνοι· οἷον Ὀρέστην ἐν τῇ Ἰφιγενείᾳ ἀνεγνώρισε τὴν ἀδελφήν, ἀναγνωρισθεὶς ὑπ' ἐκείνης· ἐκείνη μὲν γὰρ διὰ τῆς ἐπιστολῆς, ἐκεῖνος δὲ διὰ σημείων· ταῦτα οὖν αὐτὸς λέγει ἃ βούλεται ὁ ποιητής, ἀλλ' οὐχ ὁ μῦθος. Διὸ ἐγγὺς τῆς εἰρημένης ἁμαρτίας ἐστίν· ἐξῆν γὰρ ἂν ἔνια καὶ ἐνεγκεῖν. Καὶ ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς κερκίδος φωνή[1].

Τρίτη δὲ ἡ διὰ μνήμης, τῷ αἰσθέσθαι τι ἰδόντα, ὥσπερ ἡ ἐν Κυπρίοις[2] τοῖς Δικαιογένους, ἰδὼν γὰρ τὴν γραφὴν ἔκλαυσεν, καὶ ἡ ἐν Ἀλκίνου ἀπολόγῳ[3], ἀκούων γὰρ τοῦ κιθαριστοῦ καὶ μνησθεὶς ἐδάκρυσεν· ὅθεν ἀνεγνωρίσθησαν.

Τετάρτη δὲ ἡ ἐκ συλλογισμοῦ, οἷον ἐν Χοηφόροις[4], ὅτι

Les secondes sont celles qu'invente le poëte, et supposent peu d'art. Ainsi, dans l'*Iphigénie* [*chez les Tauriens* d'Euripide], Oreste reconnaît sa sœur et en est reconnu : celle-ci se fait connaître par la lettre, mais Oreste par des signes, et en disant ce qu'il plaît au poëte, sans que la fable y soit pour rien. Cela touche au défaut que nous avons signalé; car il pourrait également porter quelque chose sur lui. Ainsi encore, dans le *Térée* de Sophocle, *la voix de la navette*.

La troisième espèce de reconnaissance a lieu par le souvenir, lorsqu'on devine à la vue d'un objet. Ainsi dans les *Cypriens* de Dicéogène, à la vue d'une peinture le héros fond en larmes; [chez Homère,] dans l'apologue d'Alcinoüs, Ulysse, entendant le joueur de cithare, se souvient et pleure : c'est ce qui les fait reconnaître.

La quatrième a lieu par le raisonnement. Ainsi dans les *Choépho-*

Δευτέραι δὲ
αἱ πεποιημέναι
ὑπὸ τοῦ ποιητοῦ,
διὸ ἄτεχνοι·
οἷον Ὀρέστης ἐν τῇ Ἰφιγενείᾳ
ἀνεγνώρισε τὴν ἀδελφήν,
ἀναγνωρισθεὶς ὑπὸ ἐκείνης·
ἐκείνη μὲν γὰρ
ὑπὸ τῆς ἐπιστολῆς,
ἐκεῖνος δὲ διὰ σημείων·
αὐτὸς οὖν λέγει
ἃ ποιητὴς βούλεται,
ἀλλὰ οὐχ ὁ μῦθος.
Διό ἐστιν ἐγγὺς
τῆς ἁμαρτίας εἰρημένης·
ἐξῆν γὰρ ἂν
ἐνεγκεῖν καὶ ἔνια.
Καὶ ἐν τῷ Τηρεῖ
Σοφοκλέους
ἡ φωνὴ τῆς κερκίδος.
Τρίτη δὲ
ἡ διὰ τῆς μνήμης,
τῷ αἰσθέσθαι
ἰδόντα τι,
ὥσπερ ἡ
ἐν Κυπρίοις
τοῖς Δικαιογένους,
ἰδὼν γὰρ τὴν γραφὴν
ἔκλαυσεν;
καὶ ἡ ἐν ἀπολόγῳ
Ἀλκίνου,
ἀκούων γὰρ τοῦ κιθαριστοῦ
καὶ μνησθεὶς
ἐδάκρυσεν·
ὅθεν ἀπεγνωρίσθησαν.
Τέταρτη δὲ
ἡ ἐκ
τοῦ συλλογισμοῦ,
οἷον ἐν Χοηφόροις,
ὅτι τις ὅμοιος

Les secondes d'autre part *sont*
celles *qui ont été* inventées
par le poëte, [vues-d'art ;
à-cause-de-quoi elles *sont* dépour-
comme Oreste dans Iphigénie
a reconnu *sa* sœur,
ayant été reconnu par elle ;
car elle d'une part *a été reconnue*
par la lettre,
lui d'autre part par des signes ;
lui donc dit
les choses que le poëte veut,
mais non *que veut* la fable.
C'est pourquoi il est près
de la faute signalée ;
car il serait-possible [ses.
d'avoir apporté aussi quelques cho-
Et dans le Térée
de Sophocle
la voix de la navette. [d'autre part
La troisième *reconnaissance*
est celle *qui a lieu* par la mémoire,
par *le fait* d'avoir senti
en ayant vu quelque chose,
comme celle *qui a lieu*
dans les Cypriens
ceux de Dicéogène,
car ayant vu le tableau
il (le héros) a pleuré,
et celle *qui a lieu* dans l'apologue
d'Alcinoüs,
car entendant le joueur-de-cithare
et s'étant souvenu
il (Ulysse) a pleuré :
d'où ils furent reconnus.
La quatrième *reconnaissance*
est celle résultant [d'autre part
du raisonnement,
comme dans les Choéphores,
parceque quelqu'un *de* semblable

ὅμοιός τις ἐλήλυθεν, ὅμοιος δὲ οὐθεὶς ἀλλ' ἢ ὁ Ὀρέστης· οὗτος ἄρα ἐλήλυθεν. Καὶ ἡ Πολυείδου τοῦ σοφιστοῦ περὶ τῆς Ἰφιγενείας· εἰκὸς γὰρ τὸν Ὀρέστην συλλογίσασθαι ὅτι ἥ τ' ἀδελφὴ ἐτύθη καὶ αὐτῷ συμβαίνει θύεσθαι. Καὶ ἡ ἐν τῷ τοῦ Θεοδέκτου Τυδεῖ, ὅτι ἐλθὼν ὡς εὑρήσων υἱὸν αὐτὸς ἀπόλλυται. Καὶ ἡ ἐν τοῖς Φινείδαις[1]· ἰδοῦσαι γὰρ τὸν τόπον συνελογίσαντο τὴν εἱμαρμένην, ὅτι ἐν τούτῳ εἵμαρτο ἀποθανεῖν αὐταῖς· καὶ γὰρ ἐξετέθησαν ἐνταῦθα.

Ἔστι δέ τις καὶ συνθετὴ ἐκ παραλογισμοῦ τοῦ θεάτρου, οἷον ἐν τῷ Ὀδυσσεῖ τῷ ψευδαγγέλῳ[2]· τὸ μὲν γὰρ τόξον ἔφη γνώσεσθαι ὃ οὐχ ἑώρακει, τὸ δέ, ὡς δι' ἐκείνου ἀναγνωριοῦντος, διὰ τούτου ἐποίησε παραλογισμόν.

[1] *res* [d'Eschyle, Électre raisonne ainsi :] « Il est venu quelqu'un qui me ressemble; or personne ne me ressemble, si ce n'est Oreste; c'est donc Oreste qui est venu. » Dans l'*Iphigénie* de Polyidus le sophiste, il est naturel qu'Oreste réfléchisse que sa sœur a été sacrifiée, et qu'il va l'être comme elle. Dans le *Tydée* de Théodecte, en allant pour trouver son fils, le héros est tué lui-même; et dans les *Fils de Phinée* [de...?], en voyant la place, les victimes reconnaissent par un raisonnement que c'est là que leur destin les attend, car c'est là qu'elles avaient été exposées.

Enfin il y a une reconnaissance compliquée d'un faux raisonnement du spectateur. Ainsi dans l'*Ulysse faux messager* [de ...?], l'envoyé dit qu'il reconnaîtra l'arc qu'il n'a jamais vu, et le spectateur, croyant que c'est par là que viendra la reconnaissance, fait un faux raisonnement.

ἐλήλυθεν,
οὐθεὶς δὲ
ὅμοιος
ἀλλὰ ἢ ὁ Ὀρέστης·
ἄρα οὗτος ἐλήλυθε.
Καὶ ἡ Πολυείδου τοῦ σοφιστοῦ
περὶ τῆς Ἰφιγενείας·
εἰκὸς γὰρ
καὶ τὸν Ὀρέσθην
συλλογίσασθαι
ὅτι ἥ τε ἀδελφὴ ἐτύθη
καὶ συμβαίνει αὐτῷ
θύεσθαι.
Καὶ ἡ ἐν τῷ Τυδεῖ
τοῦ Θεοδέκτου,
ὅτι ἐλθὼν
ὡς εὑρήσων υἱὸν
ἀπόλλυται αὐτός.
Καὶ ἡ ἐν τοῖς Φινείδαις·
ἰδοῦσαι γὰρ τὸν τόπον
συνελογίσαντο
τὴν εἱμαρμένην,
ὅτι εἵμαρτο αὐταῖς
ἀποθανεῖν
ἐν τούτῳ·
καὶ γὰρ ἐξετέθησαν
ἐνταῦθα.
Ἔστι δέ τις καὶ
συνθέτη ἐκ παραλογισμοῦ
τοῦ θεάτρου,
οἷον ἐν τῷ Ὀδυσσεῖ
τῷ ψευδαγγέλῳ·
ἔφη μὲν γὰρ
γνώσεσθαι τὸ τόξον
ὁ οὐχ ἑωράκει,
τὸ δὲ ἐποίησε
παραλογισμὸν
διὰ τούτου,
ὡς ἀναγνωριοῦντος
διὰ ἐκείνου.

est venu,
et *que* personne
n'*est* semblable *à elle* (Iphigénie)
sinon Oreste :
donc celui-ci est venu. [sophiste
Et la *reconnaissance* de Polyidus le
au sujet d'Iphigénie ;
car il *est* vraisemblable
et Oreste
avoir réfléchi
que et *sa* sœur a été immolée
et qu'il arrive (il arrivera) à lui-
d'être immolé. [même
Et la *reconnaissance qui a lieu*
de Théodecte, [dans le Tydée
parce qu'étant venu
comme devant trouver *son* fils
il périt lui-même. [Phinée ;
Et celle *qui a lieu* dans les Fils-de-
car ayant vu la place
elles comprirent-par-raisonnement
leur destinée [elles
qu'il avait été fixé-par-le-destin à
d'être mortes (de mourir)
dans cette *place* ;
car elles avaient été exposées
en-cet-endroit-là [*sance* encore
D'autre part il est une *reconnais-*
formée d'un paralogisme
du spectateur,
comme dans Ulysse
le faux-messager ;
car d'une part il a dit
devoir reconnaître l'arc
qu'il n'avait pas vu,
d'autre part il (le spectateur) a fait
un paralogisme
par ceci,
comme Ulysse devant reconnaître
par le-moyen de cet *arc*.

Πασῶν δὲ βελτίστη ἀναγνώρισις ἡ ἐξ αὐτῶν τῶν πραγμάτων, τῆς ἐκπλήξεως γιγνομένης δι' εἰκότων, οἷον ἡ ἐν τῷ Σοφοκλέους Οἰδίποδι καὶ τῇ Ἰφιγενείᾳ· εἰκὸς γὰρ βούλεσθαι ἐπιθεῖναι γράμματα. Αἱ γὰρ τοιαῦται μόναι ἄνευ τῶν πεποιημένων σημείων καὶ περιδεραίων. Δεύτεραι δὲ αἱ ἐκ συλλογισμοῦ.

XVII. Δεῖ δὲ τοὺς μύθους συνιστάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον· οὕτω γὰρ ἂν ἐναργέστατα ὁρῶν, ὥσπερ παρ' αὐτοῖς γιγνόμενος τοῖς πραττομένοις, εὑρίσκοι τὸ πρέπον, καὶ ἥκιστ' ἂν λανθάνοι [τὸ] τὰ ὑπεναντία. Σημεῖον δὲ τούτου ὃ ἐπετιμᾶτο Καρκίνῳ· ὁ γὰρ Ἀμφιάραος ἐξ ἱεροῦ ἀνῄει, ὃ μὴ ὁρῶντα τὸν θεατὴν ἐλάνθανεν[1], ἐπὶ δὲ τῆς σκηνῆς ἐξέπεσε, δυσχερανάντων τοῦτο τῶν θεατῶν. Ὅσα δὲ δυνατόν, καὶ τοῖς σχήμασι συναπεργαζόμενον. Πιθανώ-

De toutes les reconnaissances, la meilleure est celle qui vient du sujet même, quand l'effet tragique est produit par des causes naturelles, comme dans l'*Œdipe* [*roi*] de Sophocle, et [comme] dans l'*Iphigénie* [*chez les Tauriens* d'Euripide], où il est naturel qu'Iphigénie veuille adresser une lettre; car ce genre de reconnaissance est le seul qui se passe de colliers et autres signes d'invention. Vient ensuite la reconnaissance par le raisonnement.

XVII. En composant la fable et en l'écrivant, il faut, autant qu'on le peut, se mettre à la place du spectateur. Ainsi on verra tout dans le plus grand jour, et, comme en face des événements eux-mêmes, on trouvera ce qui convient, et on ne méconnaîtra pas ce qui aurait le défaut contraire. Une preuve de ceci est ce que l'on reproche à Carcinus : Amphiaraüs sortait du temple, les spectateurs ne le voyaient pas et n'en savaient rien; ils en furent blessés, ce qui fit tomber la pièce. Il faut encore, autant qu'on le peut, se placer dans la situation [des personnages]. Car, en fait de pas-

Βελτίστη δὲ ἀναγνώρισις πασῶν
ἡ ἐκ τῶν πραγμάτων αὐτῶν,
τῆς ἐκπλήξεως γινομένης
διὰ εἰκότων,
οἷον ἡ ἐν τῷ Οἰδίποδι
Σοφοκλέους
καὶ τῇ Ἰφιγενείᾳ·
εἰκὸς γὰρ βούλεσθαι
ἐπιθεῖναι γράμματα.
Αἱ γὰρ τοιαῦται
μόναι ἄνευ
τῶν σημείων πεποιημένων
καὶ περιδεραίων.
Δεύτεραι δὲ
αἱ ἐκ συλλογισμοῦ.

XVII. Δεῖ δὲ
συνιστάναι τοὺς μύθους
καὶ συναπεργάζεσθαι τῇ λέξει
τιθεμένον πρὸ ὀμμάτων
ὅτι μάλιστα·
ὁρῶν γὰρ οὕτω ἐναργέστατα,
ὥσπερ γιγνόμενος
παρὰ αὐτοῖς τοῖς πραττομένοις
εὑρίσκοι ἂν τὸ πρέπον,
καὶ [τὸ] τὰ ὑπεναντία
λανθάνοι ἂν ἥκιστα.
Σημεῖον δὲ τούτου
ὃ ἐπετιμᾶτο Καρκίνῳ·
ὁ γὰρ Ἀμφιάραος
ἀνήει ἐξ ἱεροῦ,
ὃ ἐλάνθανε τὸν θεατὴν
μὴ ὁρῶντα,
ἐξέπεσε δὲ ἐπὶ τῆς σκηνῆς,
τῶν θεατῶν
δυσχερανάντων τοῦτο.
Ὅσα δὲ δυνατόν,
καὶ συναπεργαζόμενον
τοῖς σχήμασι.
Οἱ γὰρ ἐν τοῖς πάθεσίν

Mais la meilleure reconnaissance de toutes
est celle *résultant* des faits mêmes,
l'étonnement arrivant
par des *moyens* vraisemblables,
comme celle *qui a lieu* dans l'Œdipe
de Sophocle
et dans Iphigénie;
car il *est* vraisemblable *elle* vouloir
avoir remis une lettre.
Car les *reconnaissances* telles
sont seules sans
les signes inventés
et *sans* les colliers.
Les secondes d'autre part *sont*
celles *résultant* d'un raisonnement.

·XVII. Or il faut
composer les fables
et *y* travailler par le style [yeux
en se-plaçant *les faits* devant les
le plus possible;
car voyant ainsi très-clairement,
comme se trouvant
près des *faits* mêmes se passant,
il trouverait le convenable, [traires
et [ceci *à savoir*] les *défauts* con-
ne *lui* échapperaient nullement.
Or une preuve de ceci *est*
ce qui était reproché à Carcinus;
car Amphiaraüs
était revenu du temple,
chose qui échappait au spectateur
ne *la* voyant pas,
or il échoua sur la scène,
les spectateurs
ayant supporté-avec-peine cela.
D'autre part autant-qu'il *est possible*
il faut composer les fables en *y* con-
par les gestes. [courant aussi
Car ceux *étant* dans les passions

BIBLIOTHÈQUE NATIONALE IMPRIMÉS R.F.

τατοι γὰρ ἀπὸ τῆς αὐτῆς φύσεως οἱ ἐν τοῖς πάθεσίν εἰσι, καὶ χειμαίνει ὁ χειμαζόμενος καὶ χαλεπαίνει ὁ ὀργιζόμενος ἀληθινώτατα. Διὸ εὐφυοῦς ἡ ποιητικὴ ἐστιν ἢ μανικοῦ· τούτων γὰρ οἱ μὲν εὔπλαστοι, οἱ δὲ ἐκστατικοί εἰσιν.

Τούς τε λόγους τοὺς πεποιημένους δεῖ καὶ αὐτὸν ποιοῦντα ἐκτίθεσθαι καθόλου, εἶθ' οὕτως ἐπεισοδιοῦν καὶ παρατείνειν. Λέγω δὲ οὕτως ἂν θεωρεῖσθαι τὸ καθόλου, οἷον τῆς Ἰφιγενείας. Τυθείσης τινὸς κόρης καὶ ἀφανισθείσης ἀδήλως τοῖς θύσασιν, ἰδρυνθείσης δὲ εἰς ἄλλην χώραν, ἐν ᾗ νόμος ἦν τοὺς ξένους θύειν τῇ θεῷ, ταύτην ἔσχε[1] τὴν ἱερωσύνην. Χρόνῳ δ' ὕστερον τῷ ἀδελφῷ συνέβη ἐλθεῖν τῆς ἱερείας. Τὸ δὲ ὅτι ἀνεῖλεν ὁ θεὸς διά τιν' αἰτίαν ἔξω τοῦ καθόλου ἐλθεῖν ἐκεῖ, καὶ ἐφ' ὅ τι δέ[2], ἔξω τοῦ μύθου. Ἐλθὼν δὲ καὶ ληφθεὶς θύεσθαι μέλλων ἀνεγνώρισεν,

sions, la sympathie est ce qu'il y a de plus persuasif. On agite véritablement quand on est agité; on irrite quand on est en colère. Voilà pourquoi la poésie demande une nature facile ou une nature ardente, parce que l'une se façonne et que l'autre s'enthousiasme aisément.

Il faut d'abord se retracer une idée générale de la fable que l'on compose, puis ajouter les épisodes et développer. Voici ce que j'appelle considérer en général, par exemple, le sujet d'Iphigénie : Une jeune fille était sacrifiée, elle disparaît mystérieusement sous les yeux de ceux qui la sacrifiaient, et elle est transportée dans un autre pays, où l'usage est d'immoler tous les étrangers à la déesse; ce ministère lui est confié. Plus tard son frère arrive en ce pays (l'ordre qu'il a reçu de l'oracle est hors de la donnée générale, et la cause en est hors de la fable); le frère vient donc, il est pris, et, au moment d'être sacrifié, il se fait reconnaître

εἰσι πιθανώτατοι
ἀπὸ τῆς αὐτῆς φύσεως,
καὶ ὁ χειμαζόμενος χειμαίνει,
καὶ ὁ ὀργιζόμενος χαλεπαίνει
ἀληθινώτατα.
Διὸ ἡ ποιητικὴ ἐστιν
εὐφυοῦς ἢ μανικοῦ·
οἱ μὲν γάρ εἰσιν εὔπλαστοι,
οἱ δὲ ἐκστατικοί.
Δεῖ
καὶ αὐτὸν ποιοῦντα
ἐκτίθεσθαί τε καθόλου
τοὺς λόγους πεποιημένους,
εἶτα οὕτως ἐπεισοδιοῦν
καὶ παρατείνειν.
Λέγω δὲ τὸ καθόλου
θεωρεῖσθαι ἂν οὕτως,
οἷον τῆς Ἰφιγενείας.
Τινὸς κόρης
τυθείσης
καὶ ἀφανισθείσης ἀδήλως
τοῖς θύσασι,
ἱνδρυνθείσης δὲ
εἰς ἄλλην χώραν,
ἐν ᾗ νόμος ἦν
θύειν τοὺς ξένους τῇ θεῷ,
ἔσχε ταύτην τὴν ἱερωσύνην.
Συνέβη δὲ
τῷ ἀδελφῷ τῆς ἱερείας
ἐλθεῖν ὕστερον χρόνῳ.
Τὸ δὲ ὅτι ὁ θεὸς
ἀνεῖλεν
ἐλθεῖν ἐκεῖ
διά τινα αἰτίαν
ἔξω τοῦ καθόλου,
καὶ ἐπὶ ὅ τι δέ,
ἔξω τοῦ μύθου.
Ἐλθὼν δὲ καὶ ληφθεὶς
μέλλων θύεσθαι
ἀνεγνώρισεν,

sont les plus persuasifs
par suite de la même nature,
et celui qui est agité agite,
et celui qui est-en-colère irrite
très-véritablement. [*pre*
C'est pourquoi la poésie est *le pro-*
d'un *esprit* bien-doué ou fou;
car les uns d'une part sont faciles-à-
les autres enthousiastes. [façonner,
Il faut
lui-même aussi composant
et se-représenter en-général
les sujets inventés, [sodes
puis ainsi (alors) ajouter-des-épi-
et développer.
Or je dis le *sujet* en-général
pouvoir être examiné ainsi,
comme *celui* d'Iphigénie.
Une jeune fille
ayant été m née-pour-le-sacrifice
et ayant disparu mystérieusement
aux (aux yeux des) sacrificateurs,
d'autre-part ayant été transportée
dans une autre contrée,
dans laquelle loi était
d'immoler les étranger à la déesse,
elle eut ce sacerdoce.
Or il arriva
au frère de la prêtresse
d'être venu plus tard par le temps.
Mais ceci que le dieu
lui avait ordonné-par-un-oracle
de venir là
pour une certaine cause
est en dehors du général,
et pour quelle chose d'autre part,
cela est en dehors de la fable.
Or étant venu et ayant été pris
sur-le-point-d'être sacrifié
il a opéré-la-reconnaissance,

εἴθ' ὡς Εὐριπίδης, εἴθ' ὡς Πολύειδος ἐποίησεν, κατὰ τὸ εἰκὸς εἰπὼν ὅτι οὐκ ἄρα μόνον τὴν ἀδελφὴν ἀλλὰ καὶ αὐτὸν ἔδει τυθῆναι· καὶ ἐντεῦθεν ἡ σωτηρία. Μετὰ ταῦτα δὲ ἤδη ὑποθέντα τὰ ὀνόματα ἐπεισοδιοῦν· ὅπως δὲ ἔσται οἰκεῖα τὰ ἐπεισόδια σκοπεῖν, οἷον ἐν τῷ Ὀρέστῃ ἡ μανία δι' ἧς ἐλήφθη, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως[1]. Ἐν μὲν οὖν τοῖς δράμασι τὰ ἐπεισόδια σύντομα, ἡ δ' ἐποποιία τούτοις μηκύνεται. Τῆς γὰρ Ὀδυσσείας μικρὸς ὁ λόγος ἐστίν. Ἀποδημοῦντός τινος ἔτη πολλὰ καὶ παραφυλαττομένου ὑπὸ τοῦ Ποσειδῶνος καὶ μόνου ὄντος, ἔτι δὲ τῶν οἴκοι οὕτως ἐχόντων ὥστε τὰ χρήματα ὑπὸ μνηστήρων ἀναλίσκεσθαι καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι· αὐτὸς[2] δὲ ἀφικνεῖται χειμασθείς, καὶ ἀναγνωρίσας τινὰς αὐτοῖς ἐπιθέμενος αὐτὸς μὲν ἐσώθη,

(soit comme dans Euripide, soit comme dans Polyidus où il s'écrie très-naturellement que sa sœur ne devait donc pas seule être sacrifiée, et qu'il devait l'être aussi!), et par là il est sauvé. Après cela, il n'y a plus qu'à mettre les noms propres et les épisodes. Ceux-ci doivent se rattacher naturellement au sujet : tels sont, dans l'*Oreste*, la folie qui le fait prendre, et l'expiation qui le sauve. D'ailleurs, dans le drame, les épisodes sont courts; ils peuvent allonger [davantage] une épopée. Le fond de l'Odyssée est peu de chose : Un homme est absent de chez lui depuis plusieurs années et surveillé par [la haine de] Neptune ; il est sans compagnons, et, d'un autre côté, sa maison est dans un tel état que des prétendants dissipent ses biens et entourent son fils d'embûches; il revient après avoir été battu par la tempête, reconnaît quelques personnes, attaque ses ennemis, se sauve

εἴτε ὡς Εὐριπίδης	soit comme Euripide
εἴτε ὡς Πολύειδος	soit comme Polyidus
ἐποίησεν,	a composé,
εἰπὼν κατὰ τὸ εἰκὸς	ayant dit selon la vraisemblance
ὅτι ἔδει ἄρα	qu'il fallait donc
οὐ τὴν ἀδελφὴν μόνον	non *sa* sœur seulement [crifié,
ἀλλὰ καὶ αὐτὸν τυθῆναι,	mais encore lui-même avoir été sa-
καὶ ἐντεῦθεν ἡ σωτηρία.	et de là le salut.
Μετὰ δὲ ταῦτα	Or après ces choses
ὑποθέντα ἤδη τὰ ὀνόματα	*il faut* ayant mis alors les noms
ἐπεισοδιοῦν·	ajouter-des-épisodes ;
σκοπεῖν δὲ ὅπως	d'autre part examiner comment
τὰ ἐπεισόδια ἔσται οἰκεῖα,	les épisodes seront convenables,
οἷον ἐν τῷ Ὀρέστῃ	comme dans Oreste
ἡ μανία δι᾽ ἧς ἐλήφθη,	la folie à cause de laquelle il fut pris,
καὶ ἡ σωτηρία	et le salut
διὰ τῆς καθάρσεως.	par la purification.
Τὰ μὲν οὖν ἐπεισόδια	Or d'une part les épisodes
σύντομα ἐν τοῖς δράμασιν,	*sont* courts dans les drames,
ἡ δὲ ἐποποιία	mais l'épopée
μηκύνεται τούτοις.	est allongée par ceux-ci.
Ὁ γὰρ λόγος τῆς Ὀδυσσείας	Car le sujet de l'Odyssée
ἐστὶ μικρός.	est petit.
Τινὸς ἀποδημοῦντος	Quelqu'un étant absent
πολλὰ ἔτη	pendant beaucoup d'années
καὶ παραφυλαττομένου	et étant surveillé
ὑπὸ τοῦ Ποσειδῶνος,	par Neptune,
καὶ ὄντος μόνου,	et étant seul, [maison
ἔτι δὲ τῶν οἴκοι	et de plus les (ses) *affaires* à la
ἐχόντων οὕτως	étant en-tel-état
ὥστε τὰ χρήματα	que les (ses) biens
ἀναλίσκεσθαι	être consumés
καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι	et son fils être-entouré-d'embûches
ὑπὸ τῶν μνηστήρων·	par les prétendants ;
αὐτὸς δὲ ἀφικνεῖται	or lui-même arrive
χειμασθείς,	ayant été battu-par-la-tempête, [*nes*
καὶ ἀναγνωρίσας τινὰς	et ayant reconnu quelques *person-*
ἐπιθέμενος αὐτοῖς	ayant attaqué eux (les prétendants)
αὐτὸς μὲν ἐσώθη,	lui-même d'une part fut sauvé,
διέφθειρε δὲ	d'autre part il fit-périr

τοὺς δ' ἐχθροὺς διέφθειρεν. Τὸ μὲν οὖν ἴδιον τοῦτο, τὰ δ' ἄλλα ἐπεισόδια.

XVIII. Ἔστι δὲ πάσης τραγῳδίας τὸ μὲν δέσις, τὸ δὲ λύσις· τὰ μὲν ἔξωθεν καὶ ἔνια τῶν ἔσωθεν πολλάκις ἡ δέσις, τὸ δὲ λοιπὸν ἡ λύσις. Λέγω δὲ δέσιν μὲν εἶναι τὴν ἀπ' ἀρχῆς μέχρι τούτου τοῦ μέρους ὃ ἔσχατόν ἐστιν, ἐξ οὗ μεταβαίνει εἰς εὐτυχίαν,... λύσιν δὲ τὴν ἀπὸ τῆς ἀρχῆς τῆς μεταβάσεως μέχρι τέλους, ὥσπερ ἐν τῷ Λυγκεῖ τῷ Θεοδέκτου δέσις μὲν τά τε προπεπραγμένα καὶ ἡ τοῦ παιδίου λῆψις[1],... λύσις δ' ἡ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου μέχρι τοῦ τέλους.

Τραγῳδίας δὲ εἴδη εἰσὶ τέσσαρα· τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη. Ἡ μὲν πεπλεγμένη, ἧς τὸ ὅλον ἐστὶ περιπέτεια καὶ ἀναγνώρισις· ....ἡ δὲ παθητική, οἷον οἵ τε Αἴαντες καὶ οἱ

lui-même en les faisant périr. Voilà le fond du sujet, le reste est épisodique.

XVIII. Dans toute tragédie il y a un nœud et un dénoûment. Les antécédents de l'action, et souvent une partie de l'action même, forment le nœud; le reste est le dénoûment. J'appelle *nœud* ce qui se trouve depuis le commencement jusqu'à la dernière partie, dans laquelle on passe au bonheur [ou au malheur], *dénoûment* ce qui s'étend de ce point à la fin du drame. Ainsi, dans le *Lyncée* de Théodecte, le nœud ce sont les antécédents et la prise du jeune enfant; le dénoûment comprend depuis l'accusation de meurtre jusqu'à la fin.

Il y a quatre caractères de tragédies, suivant les quatre classes établies plus haut : l'implexe, qui renferme en général péripétie et reconnaissance...; la tragédie pathétique, comme les *Ajax* et les

τοὺς ἐχθρούς.
Τοῦτο μὲν οὖν
τὸ ἴδιον,
τὰ δὲ ἄλλα ἐπεισόδια.

les (ses) ennemis.
Ceci donc d'une part
est le *sujet* propre, [des épisodes.
d'autre part les autres choses *sont*

XVIII. Πάσης δὲ τραγῳδίας
τὸ μέν ἐστι δέσις,
τὸ δὲ λύσις·
τὰ μὲν ἔξωθεν
καὶ πολλάκις ἔνια
τῶν ἔσωθεν
ἡ δέσις,
τὸ δὲ λοιπὸν ἡ λύσις.
Λέγω δὲ δέσιν μὲν εἶναι
τὴν ἀπὸ ἀρχῆς
μέχρι τούτου τοῦ μέρους
ὅ ἐστιν ἔσχατον,
ἐξ οὗ μεταβαίνει
εἰς εὐτυχίαν....
λύσιν δὲ
τὴν ἀπὸ τῆς ἀρχῆς
τῆς μεταβάσεως
μέχρι τέλους,
ὥσπερ ἐν τῷ Λυγκεῖ
τῷ Θεοδέκτου
δέσις μὲν
τά τε προπεπραγμένα
καὶ ἡ λῆψις τοῦ παιδίου,...
λύσις δὲ
ἡ ἀπὸ τῆς αἰτιάσεως
τοῦ θανάτου
μέχρι τοῦ τέλους.

XVIII. Or de toute tragédie
une partie est le nœud,
l'autre le dénoûment :
d'une part *les faits* du-dehors
et souvent quelques-uns
de ceux du-dedans
sont le nœud,
le reste *est* le dénoûment.
Or je dis le nœud d'une part être
la *tragédie* depuis le commence-
jusqu'à cette partie [ment
qui est la dernière,
de laquelle elle passe
au bonheur....
d'autre part j'appelle dénoûment
la *tragédie* depuis le commence-
de *ce* passage [ment
jusqu'à la fin,
comme dans le Lyncée
celui de Théodecte
le nœud d'une part *est*
et les *faits* passés-antérieurement
et la prise du petit-enfant,...
d'autre part le dénoûment *est*
la *tragédie* depuis l'accusation
du meurtre
jusqu'à la fin.

Τέσσαρα δὲ εἴδη τραγῳδίας
εἰσί·
τὰ γὰρ καὶ μέρη
ἐλέχθη τοσαῦτα.
Ἡ μὲν πεπλεγμένη
ἧς τὸ ὅλον ἐστὶ
περιπέτεια καὶ ἀναγνώρισις·...
ἡ δὲ παθητική,
οἷον οἵ τε Αἴαντες

Or quatre espèces de tragédie
sont :
car aussi les parties
ont été dites *être* autant.
L'une implexe
dont le *caractère* général est
peripétie et reconnaissance...
l'autre pathétique,
comme et les Ajax

Ἰξίονες· ἡ δὲ ἠθική, οἷον αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς· τὸ δὲ τέταρτον[1].... οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς καὶ ὅσα ἐν Ἅιδου. Μάλιστα μὲν οὖν ἅπαντα δεῖ πειρᾶσθαι ἔχειν, εἰ δὲ μή, τὰ μέγιστα καὶ πλεῖστα, ἄλλως τε καὶ ὡς νῦν συκοφαντοῦσι τοὺς ποιητάς· γεγονότων γὰρ καθ' ἕκαστον μέρος ἀγαθῶν ποιητῶν, ἕκαστον τοῦ ἰδίου ἀγαθοῦ ἀξιοῦσι τὸν ἕνα ὑπερβάλλειν.

Δίκαιον δὲ καὶ τραγῳδίαν ἄλλην καὶ τὴν αὐτὴν λέγειν οὐδὲν ἴσως τῷ μύθῳ· τοῦτο δέ, ὧν ἡ αὐτὴ πλοκὴ καὶ λύσις. Πολλοὶ δὲ πλέξαντες εὖ λύουσι κακῶς· δεῖ δὲ ἄμφω ἀεὶ κροτεῖσθαι.

Χρὴ δέ, ὅπερ εἴρηται πολλάκις, μεμνῆσθαι καὶ μὴ ποιεῖν ἐποποιικὸν σύστημα τραγῳδίαν. Ἐποποιικὸν δὲ λέγω τὸ πολύ-

Ixion; la tragédie morale, comme les *Phtiotides* et le *Pélée;* en quatrième lieu, la tragédie [simple et une] comme les *Phorcides*, le *Prométhée* [d'Eschyle] et toutes les scènes de l'enfer [par exemple, le *Sisyphe roulant son rocher*, d'Eschyle]. Il faut s'efforcer de réunir, sinon tous ces caractères, du moins le plus grand nombre et les meilleurs, d'autant qu'on est difficile aujourd'hui envers les poëtes : comme il y a eu de bons poëtes en chaque genre, on voudrait qu'un seul poëte surpassât chacun des autres dans le genre où il excelle.

On dira qu'une tragédie est ou n'est pas la même qu'une autre, non peut-être d'après la fable, mais quand elle a [ou n'a pas] le même nœud et le même dénoûment. Or beaucoup de poëtes forment bien le nœud et ne savent pas le dénouer; il faut réussir également dans l'une et dans l'autre partie.

Il faut encore, ainsi qu'on l'a dit souvent, se garder de faire de la tragédie une composition épique (j'appelle épique ce qui renferme

καὶ οἱ Ἰξίονες·
ἡ δὲ ἠθική,
οἷον αἵ τε Φθιώτιδες
καὶ ὁ Πηλεύς·
τὸ δὲ τέταρτον....
οἷον αἵ τε Φορκίδες
καὶ Προμηθεὺς
καὶ ὅσα ἐν Ἅδου.
Δεῖ μὲν οὖν
πειρᾶσθαι μάλιστα
ἔχειν ἅπαντα,
εἰ δὲ μή,
τὰ μέγιστα
καὶ πλεῖστα,
ἄλλως τε
καὶ ὡς συκοφαντοῦσι νῦν
τοὺς ποιητάς·
γεγονότων γὰρ ἀγαθῶν
κατὰ ἕκαστον μέρος,
ἀξιοῦσι τὸν ἕνα
ὑπερβάλλειν ἕκαστον
τοῦ ἀγαθοῦ ἰδίου.
Δίκαιον δὲ καὶ
λέγειν τραγῳδίαν
ἄλλην καὶ τὴν αὐτὴν
οὐδὲν ἴσως τῷ μύθῳ·
τοῦτο δέ,
ὧν ἡ αὐτὴ πλοκὴ
καὶ λύσις.
Πολλοὶ δὲ πλέξαντες εὖ
λύουσι κακῶς·
δεῖ δὲ ἄμφω
κροτεῖσθαι ἀεί.
Χρὴ δέ,
ὅπερ εἴρηται πολλάκις,
μεμνῆσθαι καὶ
μὴ ποιεῖν τραγῳδίαν
σύστημα ἐπιποικόν.
Λέγω δὲ ἐπιποικὸν
τὸ πολύμυθον,

et les Ixion :
l'autre morale,
comme et les Phtiotides
et le Pélée :
la quatrième espèce.....
comme et les Phorcides
et Prométhée
et tout-ce-qui *se passe* dans les enfers.
Il faut d'une part donc
tâcher de préférence
d'avoir toutes *ces parties*,
sinon,
d'avoir les plus importantes
et les plus nombreuses,
et autrement (et pour d'autres raisons)
et parce qu'on chicane maintenant
les poëtes :
car *des poëtes* ayant été bons
dans chaque partie,
on demande un seul
surpasser chacun *des autres*
dans le mérite *qui lui est* propre.
Il *est* juste aussi d'autre part
de dire une tragédie
être autre et être la même
en rien peut-être d'après la fable;
mais *il est juste de dire* cela *de celles*
desquelles le même nœud
et *le même* dénoûment *sont*.
Or beaucoup ayant noué bien
dénouent mal ;
or il faut *ces* deux parties
être applaudies toujours.
D'autre part il faut,
ce qui a été dit souvent
se souvenir aussi
de ne pas faire une tragédie
composition épique.
Or je dis épique
le contenant-plusieurs-fables,

μυθον, οἷον εἴ τις τὸν τῆς Ἰλιάδος ὅλον ποιοῖ μῦθον. Ἐκεῖ μὲν γὰρ διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει. Σημεῖον δέ, ὅσοι πέρσιν Ἰλίου[1] ὅλην ἐποίησαν καὶ μὴ κατὰ μέρος, ὥσπερ Εὐριπίδης Νιόβην, καὶ μὴ ὥσπερ Αἰσχύλος[2], ἢ ἐκπίπτουσιν ἢ κακῶς ἀγωνίζονται· ἐπεὶ καὶ Ἀγάθων ἐξέπεσεν ἐν τούτῳ μόνῳ. Ἐν δὲ ταῖς περιπετείαις καὶ ἐν τοῖς ἁπλοῖς πράγμασι στοχάζονται ὧν βούλονται θαυμαστῶς· τραγικὸν γὰρ τοῦτο καὶ φιλάνθρωπον. Ἔστι δὲ τοῦτο, ὅταν ὁ σοφὸς μέν, μετὰ πονηριας δέ, ἐξαπατηθῇ, ὥσπερ Σίσυφος, καὶ ὁ ἀνδρεῖος μὲν ἄδικος δὲ ἡττηθῇ. Ἔστι δὲ τοῦτο εἰκός, ὥσπερ Ἀγάθων λέγει[3]· εἰκὸς γὰρ γίνεσθαι πολλὰ καὶ παρὰ τὸ εἰκός.

Καὶ τὸν χορὸν δὲ ἕνα δεῖ ὑπολαβεῖν τῶν ὑποκριτῶν, καὶ

plusieurs fables), comme si quelque poëte voulait faire de l'Iliade une seule pièce. Dans l'épopée, en effet, les épisodes ont assez de place pour s'étendre convenablement; mais dans les drames la marche des événements contrarie l'attente. Voyez, par exemple, ceux qui ont traité la prise de Troie tout entière, sans la diviser par parties comme Euripide divise [la fable dont] Niobé [est le sujet], mais en suivant l'exemple d'Eschyle : ils échouent complétement ou réussissent mal : c'est là ce qui a suffi pour faire échouer Agathon. Au contraire les péripéties dans les actions simples sont d'un effet merveilleux; elles sont à la fois tragiques et intéressantes. J'entends par là un homme habile, mais méchant, qui est trompé, comme Sisyphe; un homme courageux, mais injuste, qui est vaincu; cela est vraisemblable, comme dit Agathon, car il est vraisemblable que bien des choses arrivent contre la vraisemblance.

Il faut encore considérer le chœur comme un acteur qui fait

οἷον εἴ τις ποιοῖ
τὸν μῦθον ὅλον τῆς Ἰλιάδος.
Ἔχει μὲν γὰρ
τὰ μέρη λαμβάνει
τὸ μέγεθος πρέπον
διὰ τὸ μῆκος,
ἐν δὲ τοῖς δράμασι
πολὺ ἀποβαίνει
παρὰ τὴν ὑπόληψιν.
Σημεῖον δέ,
ὅσοι ἐποίησαν
πέρσιν ὅλην Ἰλίου,
καὶ μὴ κατὰ μέρος,
ὥσπερ Εὐριπίδης Νιόβην,
καὶ μὴ ὥσπερ Αἰσχύλος,
ἢ ἐκπίπτουσι
ἢ ἀγωνίζονται κακῶς·
ἐπεὶ καὶ Ἀγάθων
ἐξέπεσεν ἐν τούτῳ μόνῳ.
Ἐν δὲ ταῖς περιπετείαις
καὶ ἐν τοῖς πράγμασιν ἁπλοῖς
στοχάζονται θαυμαστῶς
ὧν βούλονται·
τοῦτο γὰρ τραγικὸν
καὶ φιλάνθρωπον.
Τοῦτο δέ ἐστιν,
ὅταν ὁ σόφος μὲν,
μετὰ δὲ πονηρίας,
ἐξαπατηθῇ
ὥσπερ Σίσυφος,
καὶ ὁ ἀνδρεῖος μὲν
ἄδικος δὲ
ἡττηθῇ.
Τοῦτο δέ ἐστιν εἰκός,
ὥσπερ Ἀγάθων λέγει·
εἰκὸς γὰρ
πολλὰ γίνεσθαι
καὶ παρὰ τὸ εἰκός.
Καὶ δεῖ δὲ
ὑπολαβεῖν τὸν χορὸν

comme si quelqu'un faisait *en tra-*
la fable entière de l'Iliade. [*gédie*
Car là d'une part
les parties reçoivent
le développement convenable
à cause de l'étendue *du poëme*,
mais dans les drames
beaucoup arrive
contre la supposition.
Or *voici* une preuve,
tous-ceux-qui ont fait
la destruction entière d'Ilion,
et non par parties,
comme Euripide *a fait* Niobé,
et non comme Eschyle,
ou échouent
ou concourent mal (sans succès) :
attendu même qu'Agathon
a échoué par cela seul.
Mais dans les péripéties
et dans les actions simples
les *poëtes* atteignent d'une-manière-
ce qu'ils veulent ; [merveilleuse
car cela est tragique
et humain.
Or cela a-lieu,
lorsque l'*homme* habile d'une part,
mais *habile* avec méchanceté,
a été trompé,
comme Sisyphe, [part
et *lorsque l'homme* courageux d'une
mais injuste
a été vaincu.
Or ceci est vraisemblable,
comme Agathon dit ;
car *il est* vraisemblable
beaucoup de choses arriver
même contre le vraisemblable.
Et il faut d'autre part
avoir pensé le chœur

μόριον εἶναι τοῦ ὅλου, καὶ συναγωνίζεσθαι, μὴ ὥσπερ [παρ'] Εὐριπίδῃ ἀλλ' ὥσπερ [παρὰ] Σοφοκλεῖ. Τοῖς δὲ λοιποῖς τὰ ᾀδόμενα οὐ μᾶλλον τοῦ μύθου ἢ ἄλλης τραγῳδίας ἐστίν· διὸ ἐμβόλιμα ᾄδουσιν, πρώτου ἄρξαντος Ἀγάθωνος τοῦ τοιούτου. Καίτοι τί διαφέρει ἢ ἐμβόλιμα ᾄδειν ἢ ῥῆσιν ἐξ ἄλλου εἰς ἄλλο ἁρμόττειν ἢ ἐπεισόδιον ὅλον;

XIX. Περὶ μὲν οὖν τῶν ἄλλων ἤδη εἴρηται, λοιπὸν δὲ περὶ λέξεως ἢ διανοίας εἰπεῖν. Τὰ μὲν οὖν περὶ τὴν διάνοιαν ἐν τοῖς περὶ ῥητορικῆς κείσθω· τοῦτο γὰρ ἴδιον μᾶλλον ἐκείνης τῆς μεθόδου. Ἔστι δὲ κατὰ τὴν διάνοιαν ταῦτα, ὅσα ὑπὸ τοῦ λόγου δεῖ παρασκευασθῆναι. Μέρη δὲ τούτων τό τε ἀποδεικνύναι καὶ τὸ λύειν καὶ τὸ πάθη παρασκευάζειν, οἷον ἔλεον ἢ φόβον ἢ

partie du tout, et qui a aussi son rôle; ainsi l'a entendu Sophocle, mais non pas Euripide. Chez les autres, les chœurs ne tiennent pas plus à la fable qu'à toute autre tragédie; ce sont des pièces de rapport. Agathon a donné le premier cet exemple. Or est-ce autre chose de chanter des paroles étrangères dans une pièce, ou d'y insérer des tirades ou même des épisodes d'une autre pièce?

XIX. Nous avons jusqu'à présent traité des autres parties; il nous reste à parler de l'élocution ou des pensées. Ce qui concerne les pensées sera mieux dans nos livres sur la Rhétorique, auxquels cette matière appartient. Je comprends dans les pensées tout ce qui s'accomplit par le discours, et, en particulier, ce qui consiste à démontrer, à réfuter, à préparer les émotions de la pitié, de la

ἕνα τῶν ὑποκριτῶν,
ἢ καὶ εἶναι μόριον τοῦ ὅλου,
ἢ καὶ συναγωνίζεσθαι,
μὴ ὥσπερ παρὰ Εὐριπίδῃ,
ἀλλὰ ὥσπερ παρὰ Σοφοκλεῖ.
Τοῖς δὲ λοιποῖς
τὰ ᾄδόμενα οὐκ ἔστι μᾶλλον
τοῦ μύθου
ἢ ἄλλης τραγῳδίας·
διὸ ᾄδουσιν
ἐμβόλιμα,
Ἀγάθωνος ἄρξαντος πρώτου
τοῦ τοιούτου.
Καίτοι τί διαφέρει
ἢ ᾄδειν ἐμβόλιμα
ἢ ἁρμόττειν
ἐξ ἄλλου εἰς ἄλλο
ῥῆσιν
ἢ ἐπεισόδιον ὅλον;

XIX. Εἴρηται μὲν οὖν ἤδη
περὶ τῶν ἄλλων,
εἰπεῖν δὲ περὶ λέξεως
ἢ διανοίας
λοιπόν.
Τὰ μὲν οὖν
περὶ τὴν διάνοιαν
κείσθω ἐν τοῖς
περὶ τῆς ῥητορικῆς·
τοῦτο γὰρ μᾶλλον ἴδιον
ἐκείνης τῆς μεθόδου.
Ταῦτα δέ ἐστι
κατὰ τὴν διάνοιαν,
ὅσα δεῖ παρασκευασθῆναι
ὑπὸ τοῦ λόγου.
Μέρη δὲ τούτων
τό τε ἀποδεικνύναι
καὶ τὸ λύειν
καὶ τὸ παρασκευάζειν πάθη
οἷον ἔλεον ἢ φόβον
ἢ ὀργὴν

être un des acteurs,
et être une partie du tout,
et concourir-à-la-représentation,
non comme chez Euripide,
mais comme chez Sophocle.
Mais pour les autres *poëtes* [plus
les choses qu'on chante ne sont pas
de la fable
que d'une autre tragédie ;
c'est pourquoi on chante
des *parties* intercalées, [mier
Agathon ayant commencé le pre-
cette chose telle.
Cependant en quoi diffère-t-il [lées
ou de chanter des *parties* interca-
ou d'adapter
d'un *drame* dans un autre
un discours
ou un épisode entier?

XIX. Il a été parlé d'une part déjà
sur les autres *parties*, [tion
avoir parlé d'autre part sur l'élocu-
ou la pensée
est restant.
Or que les *réflexions* d'une part
sur la pensée
soient placées dans les *livres*
sur la rhétorique ;
car cela *est* plutôt propre [ment).
à cette méthode (à cet enseigne-
Or ces choses là sont [sée
relativement à (concernant) la pen-
toutes-celles-qu'il faut avoir été
par le discours. [disposés
Or les parties de celles-ci *sont*
et le démontrer
et le réfuter,
et le préparer des émotions,
comme la pitié ou la crainte
ou la colère

ὀργὴν καὶ ὅσα τοιαῦτα, καὶ ἔτι μέγεθος καὶ μικρότητα. Δῆλον δὲ ὅτι καὶ ἐν τοῖς πράγμασιν ἀπὸ τῶν αὐτῶν ἰδεῶν[1] δεῖ χρῆσθαι, ὅταν ἢ ἐλεεινὰ ἢ δεινὰ ἢ μεγάλα ἢ εἰκότα δέῃ παρασκευάζειν. Πλὴν τοσοῦτον διαφέρει, ὅτι τὰ μὲν δεῖ φαίνεσθαι ἄνευ διδασκαλίας, τὰ δὲ ἐν τῷ λόγῳ ὑπὸ τοῦ λέγοντος παρασκευάζεσθαι καὶ παρὰ τὸν λόγον γίγνεσθαι. Τί γὰρ ἂν εἴη τοῦ λέγοντος ἔργον, εἰ φανοῖτο ἡδέα καὶ μὴ διὰ τὸν λόγον; Τῶν δὲ περὶ τὴν λέξιν ἓν μέν ἐστιν εἶδος θεωρίας τὰ σχήματα τῆς λέξεως, ἃ ἐστιν εἰδέναι τῆς ὑποκριτικῆς καὶ τοῦ τὴν τοιαύτην ἔχοντος ἀρχιτεκτονικήν, οἷον τί ἐντολὴ καὶ τί εὐχὴ καὶ διήγησις καὶ ἀπειλὴ καὶ ἐρώτησις καὶ ἀπόκρισις, καὶ εἴ τι ἄλλο τοιοῦτον. Παρὰ γὰρ τὴν τούτων γνῶσιν ἢ ἄγνοιαν οὐδὲν εἰς τὴν ποιη-

terreur, de la colère et des autres passions semblables, enfin, à amplifier ou à diminuer. Il est évident que, dans l'action, les moyens employés pour produire le pitoyable, le terrible, le grand ou le vraisemblable, se rapportent aux mêmes espèces. Il y a cependant une différence, c'est que les moyens qui sont dans l'action doivent se montrer indépendamment de la représentation, tandis que ceux qui tiennent aux paroles ne produisent leur effet que par elles et par la récitation. Car quel serait le rôle de l'élocution, si les pensées pouvaient plaire autrement que par le moyen de la parole? Une autre partie de la théorie de l'élocution, ce sont les figures dont la connaissance appartient à l'art de la déclamation et à l'ordonnateur de cette partie du spectacle : tels sont le commandement, le souhait, le récit, la menace, l'interrogation, la réponse et autres figures semblables. Car connaître ou ignorer ces choses ne saurait être

καὶ ὅσα τοιαῦτα,
καὶ ἔτι μέγεθος
καὶ μικρότητα.
Δῆλον δὲ ὅτι
δεῖ χρῆσθαι
ἀπὸ τῶν αὐτῶν ἰδεῶν
καὶ ἐν τοῖς πράγμασιν,
ὅταν δέῃ παρασκευάζειν
ἢ ἐλεεινὰ ἢ δεινὰ
ἢ μεγάλα ἢ εἰκότα.
Πλὴν τοσοῦτον διαφέρει,
ὅτι δεῖ τὰ μὲν
φαίνεσθαι ἄνευ διδασκαλίας,
τὰ δὲ ἐν τ�ῳ λόγῳ
παρασκευάζεσθαι
ὑπὸ τοῦ λέγοντος
καὶ γίγνεσθαι παρὰ τὸν λόγον.
Τί γὰρ ἂν εἴη ἔργον
τοῦ λέγοντος,
εἰ φάνοιτο ἡδέα
καὶ μὴ διὰ τὸν λόγον ;
Τῶν δὲ
περὶ τὴν λέξιν
ἓν μὲν εἶδος θεωρίας
ἐστὶ
τὰ σχήματα τῆς λέξεως,
ἃ εἰδέναι
ἐστὶ τῆς ὑποκριτικῆς
καὶ τοῦ ἔχοντος
τὴν τοιαύτην ἀρχιτεκτονικήν·
οἷον τί
ἐντόλη
καὶ τί εὐχὴ
καὶ διήγησις
καὶ ἀπειλὴ
καὶ ἐρώτησις καὶ ἀπόκρισις
καὶ εἴ τι ἄλλο τοιοῦτον.
Οὐδὲν γὰρ ἐπιτίμημα
ὅ τι καὶ ἄξιον σπουδῆς
φέρεται εἰς τὴν ποιητικὴν

et toutes les *émotions* qui *sont* telles,
et en outre l'agrandissement
et la diminution.
Or *il est* évident que
il faut user [formes
des moyens provenant des mêmes
aussi dans les actions,
lorsqu'il faut préparer
des *effets* ou pitoyables ou terribles
ou grands ou vraisemblables.
Mais autant (cela seul) diffère,
qu'il faut les *effets* d'une part
se manifester sans représentation,
mais les autres *consistant* dans le
être produits [discours
par celui-qui parle
et arriver par le discours.
